So wenig eine Sprache aus einer Masse grammatischer Formen und Regeln besteht, eben so wenig kann sie allein durch Erlernung und Einübung dieser Formen und Regeln erlernt werden: sie muß nicht aus solchen Einzelheiten, sie muß aus sich selbst, als einem Ganzen, erlernt werden. Dies ist aber bei einer fremden Sprache dem Schüler nur dann erreichbar, wenn er möglichst früh zu einer lebendigen Anschauung der Sprache gebracht, d. h. schon bei dem Erlernen der ersten Anfänge der Sprache zum Lesen und Uebersetzen geeigneter Abschnitte dieser fremden in die Muttersprache angeleitet wird. Welche Abschnitte sind dazu geeignet? Sie müssen vom Leichtesten beginnen, aber stets ganze Sätze bilden, mögen sie auch anfänglich nur aus Subject und Prädicat bestehen. Mit ganzen Sätzen beginnen nun auch die meisten griechischen Lesebücher: die ersten Abschnitte sind bestimmt zur Einübung der Declination; die Kenntniß der Verbalformen wird noch nicht vorausgesetzt, weil das Lesen und Uebersetzen sonst zu weit hinausgeschoben werden müßte. Es werden also die Verbalformen und, was sonst noch nicht dagewesen ist, in den Anmerkungen erklärt: aber wieviel unvermittelte und eben deshalb ganz oder wenigstens theilweise unverständliche Erklärungen werden dadurch nöthig: wie kann ein methodischer Unterricht dieselben rechtfertigen? Solche Erklärungen finden sich aber in dem sonst so rühmlich bekannten Lesebuche von Jacobs von Anfang an fast den ganzen ersten Cursus hindurch; auch in dem in vieler Hinsicht trefflichen Buche von Halm steht

gleich auf der ersten Seite „ἐξεῦρεν“ u. s. w., in dem erst kürzlich erschienenen von Rost „παρεγένετο“ u. s. w. In letzterem Buche wird die Form zwar vollständig in den Anmerkungen erklärt, in ersterem die deutsche Bedeutung „erfand“ in der Anmerkung hinzugefügt: aber die Form bleibt dem Schüler eine unverständliche. Daher ist es bei der Ausarbeitung dieses Lesebuches mein Hauptzweck gewesen, solche Erklärungen unnöthig zu machen, d. h. dahin zu sehen, daß nie eine Form vorkomme, die der Schüler nicht nach dem schon Erlernten zu erklären verstände. Der Gang, der sich mir bei einem mehrjährigen Unterrichte der griechischen Sprache bewährt hat, ist folgender. Gleich nach Einübung der regelmäßigen Declination der Substantiva, mit welchen die entsprechenden Formen der Adjectiva verbunden werden, wird das Verbum εἰμί erlernt, das zwar durchaus anomal ist, aber eben deshalb ganz als Vocabel erlernt werden muß, weshalb es auf das Früher oder Später nicht ankommt, zumal da im Lateinischen und Deutschen dasselbe Verhältniß stattfindet. Sobald dies Verbum erlernt ist, kann das Uebersetzen beginnen und stets sich an das Erlernen der übrigen grammat. Formen anschließen. Sodann folgt das Verb. purum mit Ausschluß der Verba contracta. Hiermit pflegte ich die regelmäßige Comparation der Adject. auf ος, sowie auch wohl die Grund- und Ordnungszahlen zu verbinden. Dies würde etwa den ersten Cursus ausmachen. — Für den zweiten würden sodann gehören: die contrah. und attische II. Declination, die zusammengezogenen und anomalen Formen der III. Declin., die Comparation der übrigen Adjectiva, sowie die unregelmäßige; die Verba impura, liquida und contracta. Die Vervollständigung der Zahlwörter kann beliebig eingereiht werden; die Pronomina würde ich aber vollständig erst nach dem Verb. impur. lernen lassen, theils wegen der größeren Unregelmäßigkeit in den Formen, theils weil jenes mehr gebraucht wird und länger eingeübt werden muß. Den dritten Cursus endlich würden die Verba auf μι ausmachen, an die man die anomalen Verba beliebig anreihen kann. — Diesen Gang habe ich gewöhnlich genommen; für denselben passen auch die Ue-

bungsstücke; sie sind indeß, wie leicht ersehen werden kann, auch so eingerichtet, daß nach besonderen Bedürfnissen und Ansichten Abänderungen im Einzelnen leicht zu machen sind, z. B. kann schon nach dem Erlernen der I. oder II. Declinat. das Verb. purum angeschlossen werden; man kann gleich die contrah. und attische II. Declin. lernen lassen; man kann die ganze Comparationslehre schon vor dem Verb. impur. nehmen, ja man braucht selbst die Trennung des Verb. pur. von den Verbis impuris nicht so vollständig durchzuführen, als es mir zweckmäßig erschienen ist, und doch wird der von mir aufgestellte Hauptgrundsatz gelten müssen. Eben deshalb habe ich auch die Ordnung der Lesestücke nicht einseitig nach meinem gewöhnlichen Gange geordnet, sondern die herkömmliche nach den Redetheilen beibehalten; ein jeder Lehrer wird ja leicht selbst die ihm passende Ordnung bestimmen. — Bei der Bezeichnung der einzelnen Sätze mit Zahlen habe ich den Zweck im Auge gehabt, daß in verschiedenen Semestern die mit ungeraden und die mit geraden Zahlen versehenen gewählt werden; darin hat es auch seinen Grund, daß sehr oft dieselben oder ähnliche Formen in zwei aufeinander folgenden Sätzen vorkommen. — Bei der Wahl der Beispiele habe ich stets dahin gesehen, daß sie möglichst durch sich selbst verständlich wären und einen in sich abgeschlossenen und doch nicht inhaltsleeren Sinn gäben; auch habe ich dieselben, soviel als möglich, aus den mustergültigen prosaischen Schriftstellern genommen; indeß war ich, meinem eigenthümlichen Zwecke gemäß, nicht selten, namentlich im Anfang, genöthigt, Aenderungen vorzunehmen und Formen, die erst später erlernt werden konnten, durch andere schon bekannte zu ersetzen, zuweilen auch selbst Sätze zu bilden, welche jedoch, wie ich hoffe, kein ungriechisches Ansehn erhalten haben werden. Wenn ich in einem der vorhandenen Lesebücher Sätze vorfand, die meinem Zwecke angemessen waren, so habe auch ich dieselben als ein Gemeingut ohne Bedenken aufgenommen. — Für die Verba auf μι und für die anomalen Verba habe ich keine einzelnen Sätze zusammengestellt, weil der Schüler, wenn er zum Erlernen dieser Verba gelangt ist, schon zusammenhängende

Sätze übersetzen kann und sich auch wohl mit kürzeren, abgerissenen nicht mehr begnügt; daher ich nur die Erzählungen und Anekdoten, die sich für die Einübung der einen oder der anderen Form mehr eignen, zusammengestellt habe. Damit aber auch schon früher der Schüler an das Uebersetzen zusammenhängender Abschnitte gewöhnt werde, habe ich möglichst früh den einzelnen Abschnitten Anekdoten und Erzählungen hinzugefügt, in denen nur solche Formen vorkommen, welche dem Schüler schon bekannt sein können. Manche Wörter (z. B. einige Pronomina und Participia) sind hierbei schon als Vocabeln zu erlernen, was dem Verständnisse nichts schadet, da sie die von ihnen gerade vorkommenden Formen mit den Adjectiven theilen.

In dem angehängten Wörterbuche sind diejenigen Eigennamen nicht aufgeführt, von denen eben dort hätte nicht mehr gesagt werden können, als in der Stelle, in der sie vorkommen, gesagt ist. Ueberhaupt fand ich mich, um den Preis des Buches möglichst niedrig zu stellen, ohne doch an der Reichhaltigkeit des Lesestoffes etwas zu vermindern, genöthigt, im Wörterbuch die möglichst größte Raumersparniß zu erzielen; doch hoffe ich, meistentheils das erreicht zu haben, was ich mir als Hauptzweck hierbei vorsetzte, nämlich neben den im Lesebuche vorkommenden Bedeutungen auch die Grundbedeutung der einzelnen Wörter aufzuführen. Von doppelten Formen, die sich aus der Grammatik leicht ergeben, wie die Verba auf σσω und ττω, ist nur die gewöhnliche angegeben.

Die dem Lesebuche beigefügte Elementar-Grammatik habe ich deshalb ausgearbeitet, weil in der am meisten gebrauchten Grammatik des um den etymologischen Theil der griech. Sprache so hoch verdienten Buttmann theils die Ordnung der Verba von meinem Gange abweicht, theils, weil mich die Erfahrung gelehrt hat, daß es dem Schüler oft schwer wird, aus der Masse der Anmerkungen über seltnere oder abweichende Formen, über die Dialekte u. s. w. das ihm Nöthige herauszufinden. Eine neue wissenschaftliche Bearbeitung der Grammatik habe ich nicht beabsichtigt, nur eine Zusammenstellung des für solche Schüler, die mein Lesebuch übersetzen, Nöthigen mit mög-

lichst genauer Berücksichtigung des praktischen Zweckes; daher ich nur bedacht gewesen bin, die Regeln und Erläuterungen einfach und übersichtlich zu geben, sowie auch die Paradigmen in ausreichender Zahl aufzuführen. Die Geschlechtsregeln der Wörter nach der III. Declin. sind von mir zum leichten Auswendiglernen eingerichtet, und so der Grammatik angehängt. Die Lehre vom Accent habe ich der leichteren Uebersicht und des leichteren Auffindens wegen zusammengestellt. Das Verbum purum vor dem Verb. impur. lernen zu lassen, erschien mir sowohl naturgemäßer, als auch leichter; ferner ist das Medium dem Activum vorausgestellt, theils weil sich an jenem die eigenthümlichen Formen — gegenüber dem Activ — alle Tempora hindurch darstellen lassen, theils um den Schüler früh an das der griech. Sprache eigenthümliche Medium zu gewöhnen; denn es ist mir sehr häufig vorgekommen, daß der Schüler sonst dem Medio nur das Fut. und den Aor. zurechnet, auch wohl diese mit den entsprechenden Formen des Pass. verwechselt, namentlich aber die eigenthümliche Bedeutung des Mediums unbeachtet läßt. Ueber einige Ungleichmäßigkeiten im Druck bitte ich hinwegzusehn; die Rücksicht auf den Raum hat zuweilen die Auslassung des ν ἐφελκυστικόν, des Bindestrichs, der die Endung vom Stamme trennen sollte u. s. w. veranlaßt, doch wird dies hoffentlich durch andere Formen leicht ergänzt. Noch bemerke ich für den Gebrauch, namentlich der Verbalformen, daß Formen, die ohne Accent vorkommen, nur zur Erläuterung der Bildung anderer Formen angeführt sind; Formen, die mit dem Accent in Parenthese gesetzt sind, dadurch als solche bezeichnet werden sollen, die seltner vorkommen, aber doch im Gebrauche waren und auch von den Schülern gewählt werden können. Das Verzeichniß der anomalen Verba ist nach den darüber von Buttmann aufgestellten Grundsätzen bearbeitet, in dasselbe aber keine Form aufgenommen, für die ich nicht ein bestimmtes Beispiel in den Schriftstellern gefunden habe.

Indem ich so dies Lesebuch der Oeffentlichkeit übergebe, werde ich bereitwillig jede gegründete Verbesserung und Belehrung aufnehmen, namentlich solche, die der Gebrauch des Buches als nothwendig erscheinen läßt; übri-

gens habe ich nur den Wunsch, daß die Zeit und Mühe, die ich demselben gewidmet, nicht vergebens verwendet sein mögen.

Schließlich kann ich nicht umhin, des trefflichen, in jeder Hinsicht förderlichen Rathes und Beistandes, dessen ich mich von Seiten des Herrn Directors Bonnell bei der Ausarbeitung dieses Buches zu erfreuen gehabt habe, mit schuldiger Anerkennung und Dankbarkeit hier öffentlich zu erwähnen.

Berlin, den 21. Dezember 1841.

Der Verfasser.

Erſter und zweiter Curſus.

I. Das Verbum

εἰμί.

1. Erste und zweite Declination in Verbindung mit dem Verbo εἰμί.

I.

1. Ἡ γῆ ἐστι σφαιρική. — 2. Ἡ γῆ ἐστι πλανήτης. — 3. Αἱ Μοῦσαί εἰσιν φίλιαι τοῖς ποιηταῖς. — 4. Ὁ Πηλείδης ἦν ἀνδρεῖος. — 5. Ἡ ἀρετὴ τοῦ Πηλείδου ἦν λαμπρά. — 6. Οἱ στρατιῶται τοῦ Λεωνίδου ἦσαν ἀνδρεῖοι. — 7. Ὁ καιρὸς ἦν, ἐστί, ἔσται διδάσκαλος τῶν ἀνθρώπων. — 8. Οἱ Σκύθαι ἦσαν πολεμικοί. — 9. Πάλαι ἦσαν πατρικαὶ βασιλεῖαι. — 10. Αἴγινα πάλαι ἦν νῆσος ὀλβία. — 11. Ἡ εὐσέβειά ἐστι πασῶν ἀρετῶν ἀρχή. — 12. Ἀσκάνιος υἱὸς ἦν Αἰνείου. — 13. Ἀριστείδης ὁ Ἀθηναῖος εὐδόκιμος ἦν τῇ δικαιοσύνῃ. — 14. Οἱ Σπαρτιᾶται δόξης καὶ τιμῆς ἐρασταὶ ἦσαν. — 15. Ὁ δεσπότης τοῖς οἰκέταις ἔστω εὐνοϊκός. — 16. Ἴσθι, ὦ μαθητά, τοῖς τῆς σχολῆς νόμοις καὶ τοῖς τοῦ διδασκάλου λόγοις πειθόμενος. — 17. Οἱ ψεῦσται τοῖς ἀγαθοῖς ἀνθρώποις μισητοὶ εἰσιν. — 18. Οἱ Τυρρηνοὶ τῶν Ῥωμαίων ἦσαν διδάσκαλοι. — 19. Μιλτιάδης τῶν Περσῶν ἐν τῇ Μαραθωνίᾳ μάχῃ νικητὴς ἦν. — 20. Ἡ τῶν Σπαρτιατῶν ἀρετὴ θαυμαστὴ ἦν. — 21. Ἔστε, ὦ πολῖται, πειθόμενοι τοῖς νόμοις καὶ φίλοι τῆς δίκης. — 22. Συβαρῖται τρυφηταὶ ἦσαν. — 23. Τοῖς ναύταις φίλη ἐστὶν ἡ θάλαττα. — 24. Ἡ τύχη πολλῶν μεταβολῶν μεστή ἐστιν. —

II.

1. *Τὸ καλὸν καὶ ἀγαθόν ἐστι μέτρον τοῦ βίου, οὐχ ὁ χρόνος.* — 2. *Πιστὸς ἑταῖρος τῷ ἑταίρῳ τῶν ἀγαθῶν καὶ τῶν κακῶν κοινωνός* [1]). — 3. *Κοινωνία ἐστὶ καὶ σπουδῆς καὶ παιδιᾶς τὸ συμπόσιον.* — 4. *Πᾶσα ἐπιστήμη ἄνευ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, οὐ σοφία ἐστίν.* — 5. *Ἐν τῇ μάχῃ προθυμίας μᾶλλον ἢ τέχνης ἔργον ἐστίν.* — 6. *Ἐπιδάμνου οἰκιστὴς ἦν Φάλιος.* — 7. *Ψιλοί εἰσι καὶ τοξόται καὶ ἀκοντισταὶ καὶ σφενδονῆται.* — 8. *Ὁ Λῖνος υἱὸς ἦν Ἑρμοῦ καὶ Μούσης Οὐρανίας.* — 9. *Εὐαγόρας σεμνὸς ἦν, οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς, ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς.* — 10. *Τῶν ὄμβρων καὶ τῶν αὐχμῶν ὁ Ζεὺς ταμίας ἐστίν.* — 11. *Ἡ ἀρετὴ ἀγαθὴ μὲν συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός.* — 12. *Πολλῶν κακῶν αἰτία ἡ ἄγνοια τοῖς ἀνθρώποις ἐστίν.* — 13. *Οἱ κακοὶ οὔτε νόμοις οὔτε λόγοις ἀγαθοῖς πειθόμενοι εἰσιν.* — 14. *Καλὸς παῤῥησίας θησαυρὸς ἡ εὐγένεια.* — 15. *Ἄξιοι ἐπαίνου ἦσαν οἱ Λακεδαιμόνιοι διὰ τὴν μεγαλοφροσύνην.* — 16. *Παρασίτων ὁ τοιοῦτος εἰκονισμός ἐστι τῶν περὶ τάγηνον καὶ μετ' ἄριστον φίλων.* — 17. *Τοῖς ἀληθινοῖς φίλοις οὔτε ζῆλος οὐδεὶς ἐστι πρὸς ἀλλήλους οὔτε φθόνος.* — 18. *Ἡ φυγὴ τοῖς Σπαρτιάταις αἰσχρὸν* [2]) *καὶ βλαβερόν.* — 19) *Τυῤῥηνοὶ οἱ ἐκ Λήμνου καὶ Ἴμβρου χρήσιμοι ἦσαν τοῖς Σπαρτιάταις περὶ τὸν Εἱλωτικὸν πόλεμον.* — 20. *Ζάλευκος δοῦλος καὶ μαθητὴς καὶ φίλος Πυθαγόρου*

---

1) Ergänze *ἐστιν*, das im Griechischen öfter, wie im Lateinischen est ꝛc., ausgelassen wird. — 2) So setzt der Grieche oft das Neutr. als Prädicat zu einem Subst. masc. od. fem. gen.; man kann es substantivisch fassen, oder *τι* (etwas) hinzudenken.

ἦν. — 21. Ἱππίας καὶ Ἵππαρχος υἱοὶ ἦσαν Πεισιστράτου, τοῦ τῶν Ἀθηναίων τυράννου. — Ἡ μέθη ἑκουσία μανία ἐστί. — 23. Πῶρος ὁ Ἰνδὸς μάλιστα βασιλικὸς ἦν τῶν τοῦ Ἀλεξάνδρου τοῦ Μακεδονικοῦ πολεμίων. — 24. Ἐπὶ τῶν τοῦ Σεβαστοῦ ἐκγόνων ὥςπερ κλῆρος τοῦ οἴκου ἦν [1]) τὰ τῶν Ῥωμαίων κοινά. —

III.

1. Ὄλβιος ἔσται τοῦ μὲν δικαίου ἀνθρώπου ὁ βίος, τοῦ δ' ἀδίκου κακός. — 2. Κύρῳ διὰ τῆς Ἀραβίας πορευομένῳ ὁ Εὐφράτης ποταμὸς ἐν δεξιᾷ ἦν. — 3. Ἐν τούτῳ [2]) τῷ τόπῳ ἦν ἡ γῆ πεδίον πάνυ ὁμαλὸν ὥςπερ θάλαττα. — 4. Ξέρξου πάππος ἦν Κῦρος, ὁ τῆς τῶν Περσῶν βασιλείας κτιστής. — 5. Ἱππίας ὁ [3]) τοῦ Πεισιστράτου αἴτιος ἦν τοῦ τῶν Περσῶν πρὸς τοὺς Ἀθηναίους πολέμου. — 6. Ἐν μὲν τῇ Συρίᾳ σῖτος πλεῖστος καὶ πρόβατά ἐστιν, ἐν δὲ τῇ Λυδίᾳ πλεῖστος μὲν οἶνος, πλεῖστα δὲ σῦκα, πλεῖστον δὲ ἔλαιον. — 7. Ἡ παιδεία ἐν μὲν ταῖς εὐτυχίαις κόσμος ἐστίν, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγή. — 8. Οἱ τῶν ποιητῶν λόγοι περὶ τῶν θεῶν οὐκ ἂν ἀεὶ ἄξιοι εἶεν [4]). — 9. Ὥςπερ ἵπποις μὲν ἵπποι, ταύροις δὲ ταῦροι εὐάρεσκον, οὕτω καὶ τοῖς ἀνθρώποις οἱ ἄνθρωποι εὐάρεσκόν εἰσιν. — 10. Πιστὸς φίλος χρυσοῦ καὶ ἀργύρου ἄξιός ἐστιν ἐν χαλεπῇ διχοστασίᾳ. — 11. Οἱ ξένοι παρὰ τοῖς Ἀθηναίοις ἦσαν ἐπὶ τοῖς νόμοις. — 12. Ἡ φιλοτιμία ἐν μὲν τοῖς ἀνθρώποις ἐστίν, ἀλλ' οὐκ ἐν τοῖς ἀλόγοις ζώοις. — 13. Ἡ Λίκη παρθένος ἐστὶν ἀδιάφθορος, εὐσχημοσύνης καὶ σωφροσύνης καὶ

---

1) Das Prädicat zum Neutr. Plur. wird im Sing. hinzugefügt, wenn es eine Verbalform ist. — 2) S. οὗτος. — 3) Die Benennungen Sohn (υἱός), Tochter u. s. w. werden im Griechischen oft ausgelassen und nur durch den Artikel angedeutet. — 4) ἄν mit dem Optativ drückt eine gemilderte Behauptung aus.

δικαιοσύνης σύνοικος. — 14. Φίλιππος τὸ μὲν πρῶτον τοῖς Θηβαίοις φίλος καὶ εὐεργέτης ἦν, ἔπειτα δὲ πολέμιος δεινὸς καὶ δικαστὴς σκληρός. — 15. Οἱ Ἡρακλεῖδαι τῶν Ἀθηναίων ἱκέται ἦσαν· οὗτοι δὲ πρόμαχοι αὐτῶν. — 16. Οἱ Ἀττικοὶ πρῶτον μὲν γεωργοὶ ἦσαν, ἔπειτα δὲ ναυβάται καὶ ἐρέται καὶ κυβερνῆται. — 17. Ὥσπερ οἱ ταῦροι τοῦ σπουδαίου βουκόλου λιπαροὶ καὶ σιτευτοί, οὕτω καὶ οἱ στρατιῶται τοῦ σπουδαίου στρατηγοῦ σῶοι καὶ ἐρρωμένοι ἔσονται. — 18. Σκύθαι οἱ Ἄβιοι καλούμενοι αὐτόνομοί εἰσιν, οὐχ ἥκιστα διὰ πενίαν τε καὶ δικαιοσύνην. — 19. Ἡ πρώτη προσβολὴ τῶν Σογδιανῶν καὶ τῶν τοῦ Ἀλεξάνδρου τοξοτῶν καὶ ὑπασπιστῶν καρτερὰ ἦν. — 20. Πολυτίμητος ὁ ἐν τοῖς τῆς Σογδιανῆς ὁρίοις ποταμὸς ἴσος*) ἐστὶ τῷ Ἡνειῷ τῷ Θεσσαλικῷ ποταμῷ. — 21. Ἡ τοῦ Ἀλεξάνδρου ἐς τὸ βαρβαρικὸν μεταλλαγὴ λυπηρὰ ἦν Κλείτῳ τῷ στρατηγῷ. — 22. Ἐν μὲν τῇ Ἀσίᾳ Περσῶν ἦν ἀρχή, ἐν δὲ τῇ Εὐρώπῃ Σκυθῶν, ἐν δὲ τῇ Λιβύῃ Καρχηδονίων. — 23. Οὔτε δι' ἀρχῆς, οὔτε διὰ δουλείας, ἀλλὰ δι' ἐλευθερίας ἡ ὁδὸς τῷ Ἀριστίππῳ ἦν κεχαρισμένη. — 24. Τῆς μὲν κακίας ἀφθονία· λεία μὲν ὁδὸς καὶ μικρὰ ἐπ' αὐτήν· τῆς δ' ἀρετῆς ἀπορία· μακρὸς δὲ καὶ ὄρθιος ὁ οἶμος ἐπ' αὐτὴν καὶ χαλεπὸς τὸ πρῶτον, ἔπειτα δὲ ῥᾴδιος. —

2. Dritte — regelmäßige — Declination in Verbindung mit dem Verb. εἰμί.

I.

1. Οἱ λέοντές εἰσιν ἄλκιμοι. — 2. Αἱ ἀηδόνες εἰσὶν ἡδύφωνοι. — 3. Ἡ πειθαρχία μήτηρ ἐστὶ τῆς εὐδαιμονίας. — 4. Ὀρειθυῖα βασίλεια ἦν τῶν Ἀμαζονίδων. — 5. Ὁ δειλὸς πατρίδος ἐστὶ προδότης. —

*) Ergänze „τὸ μέγεθος an Größe". —

6. Οἱ Ἀττικοὶ ἦσαν αὐτόχθονες, οὐκ ἐπήλυδες. — 7. Οἱ Ἕλληνες τῶν Ῥωμαίων διδάσκαλοι ἦσαν. — 8. Ἐν ταῖς οἰκίαις τῶν ἀνθρώπων εἰσὶν αἶγες, οἶες, βόες, ὄρνιθες καὶ τὰ ἔκγονα τούτων. — 9. Ἐν Ἰταλίᾳ ἦσαν πρῶτοι Αὔσονες αὐτόχθονες. — 10. Ὁ ὄρτυξ ἐστὶν ἡδύφωνος καὶ μαχητικός. — 11. Εἰ μὴ Ἀλέξανδρος ἦν, Διογένης ἂν ἦν [1]). — 12. Δυνατόν ἐστι, τοὺς ἀνθρώπους εὐδαίμονας εἶναι, κἂν [2]) πένητες ὦσι. — 13. Θαύματος ἄξια τὰ [3]) τῶν Κρητικῶν μελισσῶν καὶ τὰ τῶν ἐν Κιλικίᾳ χηνῶν. — 14. Οὐδ' ὁ ἀὴρ ἐλεύθερός ἐστι τοῖς ὄρνισι διὰ τὰς παγίδας τῶν ἀνθρώπων. — 15. Ἐν τοῖς τοῦ Ὁμήρου ποιήμασι τοῖς θεοῖς ὅ μὲν σῖτος ἀμβροσία, τὸ δὲ ποτὸν νέκταρ ἐστίν. — 16. Τῶν τῆς ψυχῆς ἀῤῥωστημάτων καὶ παθημάτων ἡ φιλοσοφία μόνη φάρμακόν ἐστιν. — 17. Ὁ Πλάτων, νέος ἔτι ὤν, μάλα αἰδήμων καὶ κόσμιος ἦν. — 18. Σοφοκλῆς μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, ἔτι παῖς ὤν, τῶν περὶ τρόπαιον χόρων κοινωνὸς ἦν. — 19. Μίλων, ὁ ἐκ Κρότωνος ἀθλητής, διὰ τὴν ἰσχὺν περιβόητος ἦν. — 20. Ἑκάστῳ ὅπλον τί ἐστι, λέουσιν ἀλκὴ καὶ ταχυτής, ταύροις κέρατα, μελίσσαις κέντρα, ἀνθρώπῳ λόγος καὶ σοφία. — 21. Τὰ πολίσματα ἔστω κόσμια οὐκ ἀναθήμασιν, ἀλλὰ ταῖς τῶν πολιτῶν ἀρεταῖς. — 22. Ὁ ἥλιος μετὰ νύκτα κεχαρισμένος ἐστὶ τοῖς ἀνθρώποις. — 23. Οἱ παῖδες καὶ νεανίαι ἔστωσαν κόσμιοι ἐν πορείᾳ καὶ σχήματι. — 24. Ἄργῳ τῷ πανόπτῃ ἦσαν ὀφθαλμοὶ ἐν παντὶ τῷ σώματι. —

II.

1. Τὸ γῆρᾶς ἐστιν ἀνθρώποις πολλάκις χαλεπόν. — 2. Τοῖς γέρουσιν ὁ βίος οὐκ ἐστι χαλεπός.

---

1) So sagte Alexander der Große in seinem Urtheile über den Diogenes. 2) = καὶ ἐάν (s. Gr. §. 4, 1. Anm.) auch wenn, c. Conj. — 3) Das Verfahren (vergl. Buttm. Gramm. §. 115 Anm. 2)

— 3. Ὦ παῖδες ἔστε πειθόμενοι τοῖς καλοῖς λόγοις τῶν σεμνῶν γερόντων. — 4. Ὠκεανοῦ καὶ Τηθύος παῖς ἦν Ἴναχος. — 5. Ἥφαιστος τῷ πόδε χωλὸς ἦν. — 6. Τῷ Κύρῳ ὄνομα μέγα καὶ δύναμις μεγάλη καὶ χρήματα μεγάλα ἦν. — 7. Σὺν τοῖς θεοῖς καλαὶ ἐλπίδες εἰσὶ σωτηρίας καὶ τοῖς ἀθλίοις. — 8. Ὁμηρὸς τοῖς Ἕλλησιν ὥσπερ πατὴρ τῆς σοφίας ἐστὶ καὶ ἡγεμών. — 9. Ὡς χρυσῷ τὸ πῦρ, οὕτω καὶ φίλῳ ὁ καιρός ἐσι βάσανος. — 10. Τοῖς μεταλλουργοῖς ἀναγκαῖόν ἐστι τὸ πῦρ. — 11. Πλοῦτος τίμιον μέν, ἄλλα κτῆμα ἀβέβαιον. — 12. Ἐν τῇ Μιλήτῳ ἦσαν πολλοὶ ἀνδριάντες ἀθλητῶν τῶν Ὀλύμπια καὶ Πύθια νενικηκότων [1]). — 13. Οἱ τῶν Αἰγινητῶν ἀνδριάντες περιβόητοι ἦσαν. — 14. Ἀνθρώποις ἀγών ἐστι λέουσι [2]) καὶ ἄρκτοις καὶ παρδάλεσι καὶ τοῖς ἄλλοις δεινοῖς θηρσί. — 15. Σωκράτης πρὸς χειμῶνα καὶ θέρος καρτερικὸς ἦν. — 16. Δῆλόν ἐσι, τὴν ἐγκράτειαν εἶναι τῆς ἀρετῆς κρηπῖδα. — 17. Ὁ Σωκράτης ἦν ἐν παντὶ πράγματι καὶ πάντα τρόπον [3]) ὠφέλιμος τοῖς τε φίλοις καὶ μαθηταῖς καὶ παντὶ τῷ συνόντι. — 18. Τὰ ζῶα ἐν τῇ γῇ, οἱ ἰχθύες ἐν τῇ θαλάττῃ, οἱ ὄρνιθες ἐν τῷ ἀέρι εἰσίν. — 19. Ἡ τυραννὶς ἀδικίας μήτηρ ἐστίν. — 20. Οἱ ἀγαθοὶ ἄνδρες θεῶν εἰκόνες εἰσί. — 21. Παρὰ τοῖς Νομάσι τῶν Λιβύων μερισμὸς τοῦ χρόνου ἐστὶν οὐ ταῖς ἡμέραις [4]), ἀλλὰ ταῖς νυξί. — 22. Φρένες ἀγαθαὶ ἐν σώματι ἀνθρώπου μέγα τί ἐστιν ἐν στενῷ δεσμωτηρίῳ. — 23. Εὐωδία καὶ μῦρον γυψὶν αἰτία θανάτου. — 24. Τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδες μόνοι εἰσίν, ἀνθρώπῳ δὲ καὶ χεῖρες. —

---

1) ὁ Ὀλύμπια κ. Π. νενικηκώς, der Sieger in den olympiſchen und pythiſchen Spielen. — 2) Ueberſ. den Dat. durch „mit". — 3) Ueberſ. den Accuſ. durch „auf". — 4) Ueberſ. den Dat. durch „nach".

III.

1. *Χαλεπαὶ φροντίδες εἰσὶ λυπηραὶ τῇ ψυχῇ.* — 2. *Ἐγκράτεια καλόν τε κἀγαθόν* [1]) *ἀνδρί κτῆμά ἐστιν.* — 3. *Ἀξιόλογόν ἐστι τὸ τοῦ Προδίκου σύγγραμμα τὸ περὶ τῆς ἀρετῆς καὶ κακίας.* — 4. *Πάντων κτημάτων ἄριστον ἂν* [2]) *εἴη φίλος σώφρων καὶ ἀγαθός.* — 5. *Ἄρχοντες τῶν ἀγελῶν εἰσιν οἱ ποιμένες.* — 6. *Ἐν τῇ Πελοποννήσῳ καλοί τε καὶ ἀκίνδυνοι λιμένες εἰσί.* — 7. *Τέττιξ μὲν τέττιγι φίλος, μύρμηκι δὲ μύρμηξ, κόρακι δὲ κόραξ.* — 8. *Παρὰ τοῖς Ἀθηναίοις καὶ ὀρτύγων ἀγῶνες ἦσαν.* — 9. *Ὁ βίος ἀνθρώπων ἐστὶ πολύπονος, ὥςπερ ὁ μυρμήκων καὶ μελισσῶν.* — 10. *Αἱ φόρμιγγες τοῖς τῶν ἀνθρώπων θυμοῖς κεχαρισμέναι εἰσὶ παρὰ τὸ δεῖπνον* — 11. *Χάρις χάριτος αἰτία, ἔρις ἔριδος, κακότης κακότητος.* — 12. *Αἱ ᾠδαὶ τῶν Σειρήνων οἷον δεσμοὶ ταῖς τῶν ἀνδρῶν φρεσὶν ἦσαν.* — 13. *Πολλά ἐστιν ἀναγκαῖα τῷ σώματι ἀνθρώπου, σῖτος καὶ ὕδωρ, ἱμάτια καὶ χιτῶνες καὶ χλαμύδες καὶ ἐξωμίδες.* — 14. *Τοῖς τεχνάσμασιν ἡ ἀλώπηξ τῶν ἄλλων θηρῶν ἐστι διαφέρουσα.* — 15. *Ὁ αὐτάρκης, καίπερ πένης ὤν, πλούσιος, ὁ δὲ χρημάτων ἄπληστος, καίπερ πλούσιος ὤν, πένης ἐστίν.* — 16. *Ἐν διδασκαλείῳ Στρατονίκου τοῦ κιθαριστοῦ ἐννέα μὲν εἰκόνες τῶν Μουσῶν, τοῦ δ' Ἀπόλλωνος μία* [3]). — 17. *Ἡ ἐρυθρότης τῆς ἀρετῆς χρῶμα.* — 18. *Δαίδαλος διὰ τὴν τέχνην τῆς πατρίδος φυγὰς ἦν.* — 19. *Ὁ τῶν στρατιωτῶν ἡγεμὼν ἔστω ἐπιστήμων τῆς στρατηγικῆς καὶ φιλόφρων τοῖς στρατιώταις.* — 20. *Στρατευμα ἄτακτον μὲν οὐδὲν ὠφέλιμον, εὔτακτον δὲ καὶ εὔψυχον τῇ μὲν πατρίδι ἄμυνα, δεῖμα δὲ τοῖς πολεμίοις.* — 21. *Οἱ Ἀλεξάνδρου*

---

1) S. Gr. §. 4, 1. Anm. — 2) S. pag. 5. Anm. 3. — 3) S. εἷς. —

τοῦ Μακεδόνος στρατιῶται κοσμητοὶ ἦσαν κόρυσι καὶ ἀσπίσι καὶ λογχαῖς λαμπραῖς. — 22. Οἱ τοῦ Δράκοντος νόμοι διὰ τὴν χαλεπότητα οὐκ ἦσαν χρόνιοι. — 23. Ἐν τῇ τῶν μακάρων νήσῳ πηγαὶ ἦσαν ἄλλαι μὲν ὕδατος, ἄλλαι δὲ μέλιτος. — 24. Οἱ Ἀθηναῖοι οὐ μόνον ἐν τοῖς γυμνικοῖς ἀγῶσι καὶ ἐν τοῖς χοροῖς, ἀλλὰ καὶ ἐν τοῖς ναυτικοῖς στρατηγήμασιν εὔτακτοι ἦσαν. —

II. Das Verbum purum.

1. Erste und zweite Declination in Verbindung mit dem Verb. purum.

A. Activum.

I.

1. Ἡ λύρα τὰς μερίμνας λύει. — 2. Αἱ μέριμναι τὴν καρδίαν ἐσθίουσιν. — 3. Ὁ θάνατος ἀπολύει τοὺς ἀνθρώπους πόνων καὶ κακῶν. — 4. Οἱ ἄνθρωποι τοὺς θεοὺς θεραπεύουσιν. — 5. Οἱ διδάσκαλοι τοὺς μαθητὰς τὰς τέχνας καὶ τὰ γράμματα παιδεύουσιν. — 6. Οἱ θηρευταὶ ἀγρεύουσι τὰς ἐλάφους καὶ δόρκας καὶ ἄλλα θηρία. — 7. Ὁ τῶν Ῥωμαίων δῆμος ὑφ' ἡδονῆς περὶ τὸν Τιβέριον Γράκχον ἐβάκχευεν. — 8. Ὅσον ἐν πολέμῳ σίδηρος, τοσοῦτον ἐν πολιτείαις ἰσχύει λόγος. — 9. Εἰ ἀληθεύεις, ὦ τέκνον, πιστεύομεν τοῖς λόγοις. — 10. Ὁ νόμος ἀπαγορεύει, μὴ πολίτην πολίτῃ ἐπιβουλεύειν. — 11. Οἱ αὐτόμολοι ἐμήνυσαν, ὅτι οἱ πολέμιοι κινδυνεύοιεν διὰ τὴν τῶν σίτων ἀπορίαν. — 12. Βουλεύετε, ὦ χρηστοὶ πολῖται, τῷ δήμῳ. — 14. Ἑταῖρος ἑταίρῳ πιστευέτω. — 15. Οὐκ ἀγαθόν, ἑταῖρον ἑταίρῳ

μηνίειν. — 16. Καλοὶ νεανίαι γυμνοὶ περὶ τὸ τρόπαιον ἐχόρευον. — 17. Οἱ στρατιῶται τὴν χώραν ἀπὸ τῶν πολεμίων ἀπολύσουσιν. — 18. Ὁ χρησὸς ἄνθρωπος καὶ τοῖς ἐκγόνοις φυτεύσει. — 19. Ὁ ἄγγελος ἐμήνυσε τοῖς πολίταις, ὅτι οἱ πολέμιοι τῇ στραριᾷ ἐπιβουλεύσοιεν. — 20. Τὰς τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσεν. — 21. Οἱ Λακεδαιμόνιοι Πλαταιὰς κατέλυσαν. — 22. Τὰ τέκνα εὖ πεπαίδευκας. — 23. Ὁ ἐμὸς φίλος τὰ τέκνα εὖ ἐπεπαιδεύκει. — 24. Οἱ πολέμιοι πολλοὺς πολίτας πεφονεύκασιν. —

II.

1. Ὁ ἥλιος καταδύει. — 2. Διὰ λόγους τοὺς ἀνοητοὺς παιδεύομεν. — 3. Ἡ ἀπορία διαλύει πολλάκις τὰς ἑταιρίας. — 4. Ἄνευ εὐψυχίας οὐδεμία [1]) τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει. — 5. Οἱ μὲν Αἰγύπτιοι τοὺς νεκροὺς ἐταρίχευον, οἱ δὲ Ῥωμαῖοι ἔκαιον. — 6. Οἱ Αἰγύπτιοι τὸν ἥλιον καὶ τὴν σελήνην ὡς θεοὺς ἐθεράπευον. — 7. Οἱ μὲν Λακεδαιμόνιοι κατὰ γῆν, οἱ δ' Ἀθηναῖοι κατὰ θάλατταν ἴσχυον. — 8. Ὁ καλὸς κἀγαθὸς οὐ δουλεύει ταῖς ἡδοναῖς. — 9. Ἡ Ἀφροδίτη τῇ εὐμορφίᾳ ἐκρατίστευσε τῆς Ἥρας καὶ τῆς Ἀθηνᾶς. — 10. Οἱ Ἡρακλεῖδαι ἐβασίλευσαν τῆς Σπάρτης. — 11. Κάδμος ὁ Σιδώνιος Θηβῶν τῶν τῆς Βοιωτίας ἐβασίλευσεν. — 12. Ὅτε ὁ ἥλιος κατεδεδύκει, ὁ Λεωνίδας καὶ οἱ μετ' αὐτοῦ ἐστράτευσαν ἐπὶ τοὺς Πέρσας. — 13. Σαρδανάπαλος στολὴν γυναικείαν ἐνεδεδύκει. — 14. Ἀκούσατε, ὦ στρατιῶται, τὴν περὶ τῆς μάχης ἀγγελίαν. — 15. Ἀλέξανδρος ἐν τῷ πρὸς Ἀαρεῖον πολέμῳ μεγίστους κινδύνους ἐκινδύνευσεν. — 16. Ἦν κρήνη ἐν Φρυγίᾳ, ἐφ' ᾗ Μίδας τὸν Σάτυρον ἐθήρευσε. — 17. Σατράπης τις ἐμήνυσε τῷ Ἀρταξέρξῃ, ὅτι Κῦρος

---

1) Ε. οὐδείς. —

ὁ ἀδελφὸς αὐτῷ ἐπιβουλεύοι. — 18. *Μίνδαρος, ὁ τῶν Λακεδαιμονίων ναύαρχος, ἔθυσεν ἐν Ἰλίῳ τῇ Ἀθηνᾷ.* — 19. *Οἱ Ἀθηναῖοι πεφυγαδεύκασιν Ἀριστείδην, ὅτι τῇ δικαιοσύνῃ πολὺ ἴσχυε.* — 20. *Πεισίστρατος Ἀθηναίων ἐτυράννευσε μακρὸν χρόνον κατὰ τοὺς νόμους, καὶ μετὰ τὸν θάνατον αὐτοῦ Ἱππίας καὶ Ἵππαρχος.* — 21. *Ὁ Σωκράτης οὐχ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν*[1] *δακρύων, ἀλλὰ πιστεύσας τῇ ἑαυτοῦ ἀβλαβείᾳ ἐκινδύνευσε τὸν ἔσχατον κίνδυνον.* — 22. *Ὁ μαθητής, ὃς βλακεύει, ψόγου, ὃς δὲ ἐπιτηδεύει, τοῦ ἐπαίνου ἄξιός ἐστι.* — 23. *Τῶν Ἀχαιῶν, οἳ ἐπὶ Τροίαν ἐστράτευσαν, ὁ Πηλείδης*[2] *ἠρίστευσεν.* — 24. *Ἀλέξανδρος, ὁ Φεραίων τύραννος, τοσούτους πεφονευκὼς πολίτας, τῇ τῆς Ἑκάβης καὶ Πολυξένης ταλαιπωρίᾳ τῇ ἐν τῷ θεάτρῳ*[3] *ἐπεδάκρυσεν.* —

Die Gemahlinn des Darius, von Alexander dem Großen beruhigt.

Ὅτε Ἀλέξανδρος μετὰ τὴν δευτέραν πρὸς Δαρεῖον μάχην οἰμωγὴν καὶ θόρυβον οὐ πόρρω τῆς σκηνῆς ἤκουσεν, ἐκέλευσε τὸν Λεόννατον μαστεύειν τὴν αἰτίαν καὶ αὐτῷ μηνύειν. Λεόννατος δὲ αὐτῷ ἐμήνυσε, τὴν βασίλειαν καὶ τὰ τέκνα ἀποδακρύειν τὸν τοῦ Δαρείου θάνατον. Ἐπεὶ ὁ Ἀλέξανδρος τοῦτ' ἤκουσεν, αὐτὸς ἔπαυσε τὴν οἰμωγὴν ἐκείνων ἀγορεύων, ὅτι ὁ Δαρεῖος βιοτεύει. Ἡ δὲ βασίλεια τοῖς τοῦ Ἀλεξάνδρου λόγοις πιστεύσασα οὐκέτι ἐδράκυσεν. —

---

1) S. πολύς. — 2) Achilles. — 3) das auf der Bühne dargestellt wurde.

2. Dritte Declination in Verbindung mit dem Verb. purum.

I.

1. Ὦ παῖδες καὶ νεανίαι, θεραπεύετε τοὺς γέροντας. — 2. Οἱ ποιμένες ἀναμαστεύουσι τοὺς ἀρίστους λειμῶνας ταῖς τῶν αἰγῶν καὶ βοῶν καὶ οἰῶν ἀγέλαις. — 3. Ἐπρώτευσεν ἡ Σπάρτη τῆς Ἑλλάδος εὐνομίᾳ καὶ δόξῃ. — 4. Εἰ ἀληθεύεις, ὦ παῖ, συγγνώμονές ἐσμεν τῷ ἁμαρτήματι. — 5. Ὁ Πηλείδης Ἀγαμέμνονι ἐμήνισε διὰ τὴν Βρισηΐδα. — 6. Πέλοψ οὐ χρημάτων ἀφθονίᾳ μᾶλλον ἢ παίδων μέγιστον ἴσχυσε τῶν τῆς Πελοποννήσου βασιλευόντων. — 7. Οἱ Ἀθηναῖοι ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν. — 8. Διονύσιος, ὁ τῶν Συρακοσίων τύραννος, πολλὰς μυριάδας Καρχηδονίων ἐφόνευσεν. — 9. Αἰακοῦ παῖδες ἦσαν Τελαμὼν καὶ Πηλεύς, ὧν ὁ μὲν ἕτερος μετὰ τοῦ Ἀλκμηνίδου ἐπὶ Λαομέδοντα ἐστράτευσε, Πηλεὺς δ' ἐν τῇ μάχῃ τῇ πρὸς Κενταύρους ἠρίστευσε. — 10. Λάκωνες τὴν τῆς παλαιᾶς δι-αίτης σκληρότητα καταλύσαντες ὑπήκουσαν τῇ τρυφῇ καὶ ἁβρότητι. — 11. Κόνων μετὰ χρημάτων τῶν Περσῶν τὴν τῶν Λακεδαιμονίων ἀρχὴν κατέλυσεν. — 12. Οἱ στρατιῶται ἐνεδρεύουσι τοὺς λῃστὰς καὶ αὐτοὺς φονεύσουσιν, εἰ θηρεύσουσι. — 13. Χαβρίας, ὁ τῶν Ἀθηναίων στραιηγός, πολλάκις ἐνήδρευσε τοὺς πολεμίους. — 14. Οὕπω πασῶν ἡμερῶν ἥλιος καταδέδυκεν. — 15. Ἄγις ὁ Εὐρυπωντίδης, ἕκτος ἀπ' Ἀγησιλάου, ὃς μέγιστον τῶν Ἑλλήνων ἴσχυσεν, εὐφυΐᾳ καὶ φρονήματι ψυχῆς ἁπάντων ἠρίστευσεν, ὅσοι μετ' Ἀγησίλαον τὸν μέγαν ἐβασίλευσαν. — 16. Ἀπόλλων καὶ Ἄρτεμις ὑπακούσαντες τῷ τῆς μητρὸς κελεύσματι κατετόξευσαν κατὰ τὸν αὐτὸν χρόνον τοὺς υἱοὺς καὶ τὰς θυγατέρας τῆς Νιόβης. — 17. Ποσειδῶν καὶ Ἀπόλλων

ἐθήτευσαν τῷ Λαομέδοντι ὡς ἀποτίσοντες τὴν ἀπειθειαν. — 18. Ἡ τοῦ Ἄγιδος μήτηρ, ἀκούσασα τὸ ἔργον, κατέπαυε[1]) τὸ μειράκιον, ἀλλὰ μάτην. — 19. Λεωνίδας, ὁ τοῦ Ἄγιδος ἀντίπαλος, φόβῳ διωγμοῦ ἱκέτευσεν ἐν τῷ Ἀθηνᾶς τῆς χαλκιοίκου ναῷ, ὃν Λυκοῦργός ποτε ἱδρύκει, καὶ συνικέτευεν ἡ θυγάτηρ τῷ πατρί. — 20. Οἱ Ἀθηναῖοι ἐφυγάδευσαν τὸν Κίμωνα, ὅτι τῷ δήμῳ ἐβεβουλεύκει, συστρατεύειν τοῖς Λάκωσιν ἐπὶ τοὺς Εἵλωτας. — 21. Ἀλκιβιάδης ἦν ἀκούων τοῦ μεγίστου τῶν Ἑλλήνων φιλοσόφου καὶ αὐτῷ ὑπήκουεν ὡς οὐδενὶ ἄλλῳ ἀνθρώπων. — 22. Ἦν παρὰ τοῖς Ἀθηναίοις νόμος τῆς φιλανθρωπίας κωλύσων, μὴ εἶναι ὑβριστὴν εἰς μηδένα, μηδὲ εἰς δούλους. — 23. Εἴθε ἀκούσαιεν τοῦτον τὸν νόμον πάντες οἱ νῦν ἄνθρωποι· ἐπιτηδεύοιεν ἂν τὰ[2]) τῶν δούλων. — 24. Πολῖται πλούσιοι καὶ εὐδόκιμοι παρὰ τοῖς Ἀθηναίοις ἡγεμόνες ἦσαν τῶν χορῶν· τούτων δέ τινα κωλῦσαι, ὅτε ἐπιτηδεύοι τὸν χορόν, παράνομον ἦν. —

II.

1. Μὴ πίστευε τοῖς κόλαξι. — 2. Μὴ δούλευε, ὦ παῖ, τῇ τοῦ σώματος θεραπείᾳ. — 3. Ὁ θάνατος τῶν ἀνθρώπων τὰς φροντίδας καὶ ἐλπίδας παύει. — 4. Πίστευσον τῶν ἑταίρων τούτῳ, ὃς καλῶς βεβούλευκεν ἐν τοῖς χαλεποῖς πράγμασιν. — 5. Ὁ τοῦ Σόλωνος νόμος ἐπαίνου ἐστὶν ἄξιος, ὃς κωλύει κακῶς ἀγορεύειν τοὺς νεκρούς. — 6. Οἱ Πέρσαι τοὺς παῖδας τρία[3]) μόνα ἐπαίδευον, ἱππεύειν καὶ τοξεύειν καὶ ἀληθεύειν. — 7. Οἱ Πέρσαι τὸ ἀρχαῖον τεθύκασι μόνοις τοῖσδε τοῖς θεοῖς, ἡλίῳ τε καὶ σελήνῃ καὶ γῇ καὶ πυρὶ καὶ ὕδατι καὶ ἀνέμοις.

---

1) Ueberſ. das Imperf. „ſuchte zu beruhigen"; Agis wollte nämlich die alte durch Lykurgus begründete Verfaſſung Sparta's wiederherſtellen. — 2) Ueberſ. die Lage — 3) S. τρεῖς.

— 8. Ὅτε[1]) οἱ Πέρσαι θύοιεν, πῦρ οὐκ ἀνέκαιον. — 9. Οἱ Λήμνιοι γλῶσσάν τε τὴν Ἀττικὴν καὶ τρόπους τῶν Ἀθηναίων ἐπαίδευον τοὺς παῖδας. — 10. Ὡς θνητὸς ὢν τὸ σῶμα[2]) ἀπόλλυε τῶν μὲν ὄντων ἀγαθῶν, τὰ δὲ ἐσόμενα ἐπιτήδευε ὡς ἀθάνατος ὢν τὴν ψυχήν[2]). — 11. Ὁ χειμὼν διεκώλυσε τοὺς τῶν Ἀθηναίων στρατηγοὺς μετὰ τὴν ἐν ταῖς Ἀργινούσαις ναυμαχίαν, μὴ ἀνύειν τοῦτο, ὃ ἐκέλευεν ὁ νόμος. — 12. Οὐδεὶς πιστεύσει τῷ τὸν ἑταῖρον κακῶς ἀγορεύσαντι κἂν ἀληθεύῃ. — 13. Ὁ τῶν τριάκοντα κήρυξ ἐκέλευσε τοὺς ἕνδεκα[3]) ἐπὶ τὸν Θηραμένην. — 14. Καταλύσας τοὺς δήμους καὶ τὰς ἄλλας πολιτείας ὁ Λύσανδρος δέκα ἄρχοντας ἐκ τῶν αὐτῷ ὑπακουόντων ἀπεδείκνυεν. — 15. Οἱ ἑταῖροι τῶν ἐπισήμων ἀνδρῶν πολλάκις ταῦτα μὲν αὐτῶν μνημονεύουσιν, ἃ καὶ πρὸς τύχην ἐστὶ κοινά· τὸ δὲ ἄριστον καὶ μέγιστον οὐ μνημονεύουσιν. — 16. Εὐθὺς μετὰ τὰς σπονδὰς οἱ Λάκωνες καὶ οἱ Ἀθηναῖοι ὑπώπτευσαν ἀλλήλους, ὅτι τὴν ὑπόσχεσιν οὐκ ἔλυον. — 17. Οἱ Καρχηδόνιοι ἐπ' Ἀννίβα ἡγεμόνος ἐστράτευσαν εἰς Σικελίαν καὶ κατέλυσαν δύο ἀποικίας ἐν τρισὶ μησίν. — 18. Οἱ Ἀθηναῖοι τὸν τὴν μητέρα καὶ τὸν πατέρα μὴ θεραπεύοντα οὐκ ἀπεδείκνυον ἄρχοντα· τὸν γὰρ αὐτοὺς μὴ θεραπεύοντα τοὺς θεοὺς θεραπεύειν καὶ καλῶς θύειν, οὐ δυνατὸν εἶναι. — 19. Λίακὸν καὶ Μίνωα καὶ Ῥαδάμανθυν μετὰ τὸν θάνατον παρὰ Πλούτωνι καὶ Κόρῃ παρηδρευκέναι, μῦθός ἐστιν. — 20. Ἐπεὶ οἱ κατάσκοποι ἐμεμηνύκεσαν τῷ Ἐπαμινώνδᾳ, ὅτι ὁ Ἀγησίλαος σὺν μεγάλῳ στρατεύματι ἐξεστράτευκεν, αὐτὸς ἐστράτευσεν ἐπὶ Σπάρτης. — 21. Εὐμόλπου καὶ Ἀμαζόνων ἐπὶ τὴν χώραν ἐπιστρατευ-

1) Wenn die Conjunction ὅτε eine wiederholte Handlung bezeichnet, so wird danach der Optat. gesetzt. — 2) Ueberſ. den Acc. durch „an". — 3) Eine Behörde, welche die zum Tode Verurtheilten ergriff und tödtete.

σάντων*) οἱ Ἀθηναῖοι καλῶς διεκινδύνευσαν. — 22. Ἄρχοντες μὲν τῶν ἀγελῶν εἰσιν οἱ ποιμένες, ὡς οἱ βουκόλοι τῶν βοῶν καὶ οἱ ἱπποφορβοὶ τῶν ἵππων· πᾶσαι δὲ αὗται αἱ ἀγέλαι μᾶλλον ὑπακούουσι τοῖς ποιμέσιν, ἢ οἱ ἄνθρωποι τοῖς ἄρχουσιν. — 23. Ἐν Σπάρτῃ τῶν μὲν γερόντων ἦν προβουλεύειν περὶ τῶν πραγμάτων, τοῦ δὲ δήμου ἢ κελεύειν ἢ ἀπαγορεύειν. — 24. Νόμος ἦν παρὰ τοῖς παλαιοῖς Ἕλλησι, φονεύειν ὅστις ἄλλον ἐπεφονεύκει, ἢ φυγαδεύειν ἐκ τῆς πατρίδος δι' αἰῶνος. —

---

1. Erste und zweite Declination mit dem Verbum purum.

B. Medium.

1. Βουλευώμεθα περὶ τῆς τῶν παιδίων παιδείας. — 2. Εἴθε ἀεὶ ἄνευ ὀργῆς βουλεύοισθε. — 3. Οἱ τῶν ἱκανωτάτων καὶ εὖ καὶ κακῶς ἀγορεύειν λόγοι μάλιστα ἐνδύονται ταῖς ψυχαῖς τῶν ἀκροατῶν. — 4. Μὴ παύου, ὦ μαθητά, τοῦ ἀτελέστου ἔργου. — 5. Καλόν, ἔργου τελείου ἀναπαύεσθαι. — 6. Οἱ Ἀθηναῖοι ὅπλα ἐνδυόμενοι ἀντεστρατεύοντο προθύμως τοῖς Πέρσαις. — 7. Οἱ πάλαι Ἀθηναῖοι ἐνεδύοντο ποικίλους μὲν χιτωνίσκους, ἀλουργὰ δὲ ἱμάτια. — 8. Πλάτων παρεκελεύετο τοῖς νέοις ἐπὶ μὲν τῶν γνωμῶν σωφροσύνην, ἐπὶ δὲ τῆς γλώσσης σιγήν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν αἰδημοσύνην. — 9. Ἐπεὶ συνηγόρευον μὲν πολλοί, ὡς ἀναγκαῖον εἴη, εὐθὺς ἐπὶ τοὺς πολεμίους πορεύεσθαι, οὐδεὶς δ' ἀντηγόρευεν, ὁ Κῦρος ἐκέλευσε τοὺς στρατιώτας τὰ ὅπλα ἐνδυομένους ἐκστρατεύεσθαι. — 10. Αὐτοῦ δὲ ὁ λόγος ἦν ὅδε· ἢν ἐκστρατευώμεθα, ἀπολαύσομεν τοῦ σίτου καὶ τῶν ἄλλων καρπῶν τῶν πολεμίων, ἢν

---

*) Genit. absol. zu vergl. dem latein. Ablat. absol.

δὲ ἀναπαυώμεθα, οἱ πολέμιοι ἀναστρατοπεδεύσονται καὶ τῇ ἡμετέρᾳ ἐπιβουλεύσονται. — 11. Ὁ πρὸς τύραννον ἐμπορευόμενος ἔσται ἐκείνου δοῦλος, κἂν ἐλεύθερος πεπορευμένος ᾖ. — 12. Τὰς τῶν ἀθλίων συμφορὰς οὐκ ἐμπεπορεύμεθα, ἀλλὰ τοὺς καιροὺς ἐμπορεύεσθαι, οὐκ ἀνόσιόν ἐστιν. — 13. Ἐμπορευσώμεθα τὴν ἐμπορίαν τῆς φιλίας, ὁ ἄπορος, ἵνα τῆς ἀπορίας αὐτῷ ᾖ παραμυθία, ὁ πλούσιος, ἵνα τὸν πλοῦτον ἐν ἀσφαλείᾳ κεκτημένος ᾖ. — 14. Ἀράσπας, φίλος τοῦ Κύρου, ἀκούσας, τῷ Κύρῳ εἶναι διάπυστον τὴν [1]) ἁμαρτίαν, πολλὰ μὲν ἐδάκρυεν ὑπὸ λύπης, κατεδύετο δ' ὑπὸ τῆς αἰσχύνης. — 15. Ἄγγελοι ἐμήνυσαν τοῖς Λακεδαιμονίοις, ὅτι οἱ Ἀθηναῖοι διὰ τὴν τῶν Λακεδαιμονίων γνώμην [2]) καταλύσονται τῷ Πέρσῃ τὸν πόλεμον, τοῖς δὲ καταλυσαμένοις ὁ Ξέρξης συστρατεύσεται πρὸς τοὺς ἐκείνων πολεμίους. — 16. Οἱ Ἑλβήττιοι, διαπορευσόμενοι τὸν Ῥοδανὸν ποταμὸν τῶν Ῥωμαίων κωλυσάντων, διεκελεύσαντο ἀλλήλοις. — 17. Πολλάκις ὁ στρατηγὸς παρεκελεύσατο τοὺς στρατιώτας, ὅπως τῆς ἀτόπου διανοίας παύσαιντο. — 18. Πόπλιος, διαπορευθεὶς τὸν Τρεβίαν ποταμόν, ἐστρατοπεδεύσατο περὶ τοὺς πρώτους λόφους, ὡς κωλύσων, ὅπως μὴ οἱ Καρχηδόνιοι διαπορευθῶσι τὸν ποταμόν. — 19. Οἱ Γαλάται γευσάμενοι τοῦ Ἰταλικοῦ οἴνου ἐξεστρατεύσαντο δυναστεύσοντες τῆς χώρας, ἐν ᾗ τοιοῦτος καρπὸς φύεται. — 20. Μετὰ Κύρου ἐν τῇ μάχῃ [3]) θάνατον οἱ Ἑλληνικοὶ στρατιῶται καὶ οἱ Βάρβαροι οὔτε συνεπορεύοντο, οὔτε συνεστρατοπεδεύοντο· ἦσαν δὲ πολλὰς ἡμέρας ἐγγὺς ἀλλήλων ἐστρατοπεδευμένοι. — 21. Ἐν Κερκύρᾳ μακρὸν χρόνον ὁ δῆμος καὶ οἱ δυνατοὶ ἀλλήλοις ἐπε-

1) scin. — 2) Die Lacedämonier wollten anfänglich den Krieg gegen die Perser nach der Schlacht bei Salamis nicht fortsetzen, sondern den Athenern allein überlassen. — 3) Schlacht bei Kunaxa 401 v. Chr. Verbinde μετὰ mit θάνατον.

βουλεύσαντο· τέλος δὲ ὁ δῆμος μετὰ τῶν Ἀθηναίων ἐφυγάδευσε τοὺς δυνατούς. — 22. Οἱ μὲν ἐν Σφακτηρίᾳ τῇ νήσῳ [1]) Λακεδαιμόνιοι διεκηρυκεύσαντο πρὸς τοὺς ἐν τῇ ἠπείρῳ· οἱ δὲ ἐκέλευον αὐτοὺς περὶ ἑαυτῶν βουλεύεσθαι. — 23. Οἱ Ῥωμαῖοι τὴν τοῦ Μανλίου τοῦ Καπιτωλίνου οἰκίαν κατέλυσαν καὶ ἱερὸν ἱδρύσαντο θεᾶς, ἣν Μονήταν προσηγόρευον. — 24. Χαλεπόν ἐστι, κατὰ γέφυραν ἐκμηρύεσθαι, τῶν πολεμίων ἐναντίον ὄντων· τοῖς δ' ἐκμηρυσαμένοις ῥᾴδιον, ἐπὶ τοὺς πολεμίους πορεύεσθαι, ἀκινδύνοις οὖσιν ὄπισθεν. —

2. Dritte Declination mit dem Verbum purum.

B. Medium.

1. Οἱ Ἀμφικτύονες περὶ τῶν τε κοινῶν τῆς Ἑλλάδος πραγμάτων ἐβουλεύοντο, καὶ μάλιστα τοῦ ἐν Δελφοῖς ἱεροῦ ἐπιμέλεια ἦν αὐτοῖς. — 2. Ὁ πολιτευόμενος περὶ πολέμου καὶ εἰρήνης συμβουλευέτω καὶ περὶ χρημάτων καὶ περὶ φυλακῆς τῆς χώρας καὶ περὶ τῶν εἰσαγωγίμων καὶ ἐξαγωγίμων καὶ περὶ νομοθεσίας. — 3. Οἱ Ἕλληνες πάλαι εἰς Δελφοὺς μαντευσόμενοι ἐπορεύοντο. — 4. Ὅτε ὁ Σωκράτης τὰ ἐγκλήματα ἀπελύετο [2]), οἱ δικασταὶ αὐτῷ ὡς εἰρωνευομένῳ οὐκ ἐπίστευον. — 5. Ἀκούσεσθε τῶν παιάνων τῶν στρατιωτῶν, ὅταν τὰ παρακλητικὰ τῆς μάχης αἱ σάλπιγγες ἐγκελεύσωνται. — 6. Ἐν ἀρχῇ τοῦ Πελοποννησιακοῦ πολέμου οἱ Θηβαῖοι διεβουλεύσαντο, τῆς νυκτὸς ἐπιβουλεύειν Πλαταίᾳ τῆς Βοιωτίας, οὔσῃ Ἀθηναίων ξυμμαχίδι· οἱ δὲ τούτου τοῦ πολίσματος οἰκήτορες τοὺς ἐπιβουλεύοντας τοὺς μὲν [3]) ἐφόνευσαν, τοὺς δὲ ἐδέσμευσαν. — 7. Τοῦ

---

1) Es waren im peloponnesischen Kriege einst 420 auserwählte Spartaner auf dieser Insel von den Athenern eingeschlossen. — 2) die ihm gemachten Beschuldigungen zu widerlegen suchte. — 3) theils —

δευτέρου χειμῶνος τῆς ὑπ' Ἀθηναίων πολιορκίας οἱ Ποτιδαιᾶται οὕτως ἔρημοι ὄντες παντὸς ἐδέσματος, ὥστε καὶ ἀλλήλων ἐγέγευντο, πρὸς τοὺς Ἀθηναίους περὶ εἰρήνης προσεκηρυκεύσαντο. — 8. Περὶ ἀξίων χρημάτων βραδέως βουλεύσασθαι, παντὸς μέν ἐστιν ἀνδρός, μάλιστα δὲ τοῦ ἄρχοντος. — 9. Λακεδαιμόνιοι πρότερόν τε δῆλοι ἦσαν ἐπιβουλεύοντες τοῖς Ἀθηναίοις καὶ μάλιστα ἐν τῷ πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου χρόνῳ· ἐβεβούλευντο γὰρ τὰ ἐγκλήματα πολέμῳ μᾶλλον ἢ λόγοις διαλύεσθαι. — 10. Παυσανίας, ὁ ἡγεμὼν τῆς Σπάρτης, ὕποπτος ὢν τοῖς Ἕλλησιν ἐπὶ τῇ προδοσίᾳ, χρήμασι πιστεύων τὸ δεύτερον διελύετο*) τὴν διαβολήν, ὡς πρότερον διελέλυτο τὰ ἐγκλήματα. — 11. Ὅτε οἱ ὀλωνοπόλοι ἐπ' ὄρνισι διαμαντεύσαιντο, ἔσειον τὸ μαντικὸν ξύλον τοῦ Ῥωμύλου· ἦν δὲ ἐπικαμπὲς ἐκ θατέρου πέρατος, καὶ προσηγόρευον λίτυον. — 12. Ξενοφῶντι θυομένῳ δύο ἱερεῖα θεῷ τῷ πάντων βασιλεύοντι, ὃς αὐτῷ ἦν μαντευτὸς ἐκ Δελφῶν, ὁ θεὸς ἐμήνυσε κελεύων ἡγεμόνα τῶν Ἑλλήνων μὴ εἶναι. — 13. Σωκράτης ὁ Ἀθηναῖος φανερός ἐστιν ἐνδεδυμένος φιλοσοφώτερον χαρακτῆρα παιδείας, ἐπεὶ ἄπλαστον τοῦτον τὸν τρόπον καὶ μάλιστα φίλον τῆς ἀληθείας ἀναμεμάστευκε, τὸν δὲ τῦφον εἰς τοὺς σοφιστὰς πεφυγάδευκεν. — 14. Οἱ Ἀργοναῦται ἐπορεύοντο διὰ τοῦ Πόντου εἰς Κολχίδα πρὸς τὸ χρυσόμαλλον δέρας. — 15. Ἐπεί ποτε χρυσίου σπάνις ἦν ἐν Ῥώμῃ, αἱ Ῥωμαῖαι αὐταὶ ἐβουλεύσαντο ἐκδύεσθαι τὸν ὄντα κόσμον, ἵνα τῷ Ἀπόλλωνι κρατὴρ ὁλόχρυσος καθιερεύοιτο. — 16. Ὁ σώφρων πατὴρ τοὺς υἱοὺς δι' ἐπιστήμονος διδασκάλου παιδεύσεται. — 17. Ἀμίλκας, ὁ τῶν Καρχηδονίων ἡγεμών, παρὰ μεγάλην τῶν Καρχηδονίων πρὸς τοὺς Ἕλληνας ἐν Σικελίᾳ μάχην ἐθύσατο ἐπὶ πυρᾶς μεγάλης σώματα ὅλα· τῶν δὲ ἱερῶν

— theils. — *) suchte zu.

χρηστῶν οὐκ ὄντων, ἑαυτὸν τῷ πυρὶ ἐφόνευσεν· οἱ δὲ πολῖται αὐτοῦ μνήματα ἓν τε πάσαις ἀποικίσι καὶ ἐν αὐτῇ τῇ Καρχηδόνι καθιδρύσαντο. — 18. Ἀλέξανδρος, τῇ πορείᾳ κεκονιμένος καὶ ἱδρῶτι ῥεόμενος, ἐλούσατο ἐν τῷ Κύδνῳ, ψυχρῷ καὶ καθαρῷ ποταμῷ. — 19. Ξενοφῶν εὐμελῶς καὶ εὐφυλακτῶς ἐπὶ τὰ ἐπιτήδεια πορεύεσθαι ἐκέλευσεν· εἰ δέ τινες ἐπὶ λείαν πορεύσοιντο, μηνύειν τοῖς ἡγεμόσιν, ἵνα οὗτοι συμβουλεύωσι τοῖς τῶν χωρῶν ἀπείροις. — 20. Ὡς Βρέννῳ, τῷ τῶν Γαλατῶν βασιλεύοντι, ἐμηνύετο, ἕνα τῶν Φαβίων τῆς μάχης κοινωνὸν εἶναι καὶ Γαλάτην τινὰ πολὺ προϊππεύσαντα ἐσκυλευκέναι κατατοξευθέντα, αὐτὸς τὴν μάχην καταπαύσας ἐπορεύθη ἐπὶ τὴν Ῥώμην, ταύτην τὴν ἀδικίαν τισόμενος. — 21. Κλυταιμνήστρα τὸν Ἀγαμέμνονα ἐπιβουλευσαμένη ἐφόνευσεν· ὁ δὲ Ἀπόλλων ἐκέλευσε τῷ Ὀρέστῃ τίσασθαι τὸν τοῦ πατρὸς φόνον. — 22. Κῦρος ὁ δεύτερος τοὺς ἐκ Μιλήτου φυγάδας συνεκστρατεύεσθαι ἐκέλευσεν ἐφ' ὁμολογίᾳ, εἰ καλῶς ἀνύσαι ταῦτα, ἐφ' ἃ ἐστρατεύετο, μὴ πρόσθεν παύσεσθαι, πρὶν αὐτοὶ πρωτεύσαιεν τῶν ἀντιπάλων. Οἱ δὲ αὐτῷ ἐπίστευον· ἀλλ' οὐκ ἔλυσε τὴν ὁμολογίαν, φονευθεὶς ἐν τῇ πρὸς τὸν ἀδελφὸν μάχῃ. — 23. Ἀδμήτῳ, βασιλεύοντι τῶν Φερῶν, ἐδήτευσεν Ἀπόλλων μνηστευομένῳ τὴν Πελίου θυγατέρα Ἄλκηστιν· ὕστερον δὲ ἀπελύσατο τὸν Ἄδμητον τοῦ θανάτου. — 24. Περσεὺς τὴν Ἀνδρομέδαν τοῦ θανάτου ἀπολυσάμενος ἐμνηστεύσατο· ὅτε δὲ ὁ πρότερον αὐτὴν μνηστευσάμενος αὐτῷ ἐπεβούλευε, τῇ Γοργόνι αὐτὸν ἐφόνευσεν. —

II. Erste und zweite Declination mit dem Verbum purum.

C. *Passivum.*

1. *Παιδευόμεθα τοῖς τῶν ἄλλων κακοῖς.* — 2. *Καὶ οἱ πάνυ θεραπευόμενοι οὐκ ἀεὶ τῆς νόσου ἀπολύονται.* — 3. *Ἀνκόρμας τῆς Αἰτωλίας ποταμός ἐστι· φύεται δ' ἐν αὐτῷ βοτάνη* [1]*), Ζάρισα προσαγορευομένη, ἣ πρὸς ἀμβλυωπίας* [2]*) ἀρίστη ἐστίν.* — 4. *Τοῖς μὲν ἰδιώταις καὶ διὰ σπονδῶν καὶ δι' εἰρήνης ὁ πόλεμος παύεται, τοῖς δὲ τυράννοις οὔτε εἰρήνη ποτὲ πρὸς τοὺς τυραννευομένους ἔσται, οὔτε σπονδαῖς ἂν* [3]*) πιστεύσαιεν.* — 5. *Ὅτε Ἀλέξανδρος διεκωλύετο τῆς εἰς Τύρον εἰσόδου, τοῖς μὲν οἰκήτορσιν ἐμήνισε, τὴν δὲ Τύρον πολιορκίᾳ κλείσας κατέλυσεν.* — 6. *Διὰ τὴν ἀρετὴν τῆς γῆς πάλαι ἥ τε Θεσσαλία καὶ ἡ Βοιωτία καὶ ἡ Πελοπόννησος μᾶλλον ἢ αἱ ἄλλαι χῶραι ὑπ' ἀλλοφύλων* [4]*) ἐπεβουλεύοντο.* — 7. *Ἀτυχία βάσανός ἐστιν, εἰ πρὸς ἀρετὴν καὶ εὐσέβειαν πεπαιδεύμεθα.* — 8. *Ἀῆλός ἐστιν ὁ σοφὸς μάλιστα τῶν ἐπιθυμιῶν ἀπολελυμένος.* — 9. *Εἰ ἀεὶ ἀληθεύεις, καὶ ἀεὶ πιστευθήσῃ· ὁ μὴ ἀληθεύσας* [5]*) οὔποτε πιστευθήσεται.* — 10. *Πύρρος ὑπὸ τῶν* [6]*) στρατιωτῶν ἀετὸς προσηγορεύθη.* — 11. *Ἀλκιβιάδης ὑπὸ τοῦ πρώτου* [7]*) τῶν Ἀθηναίων ἐπετροπεύθη καὶ καλῶς ἐπαιδεύθη· ὕστερον δὲ ὑπὸ τῶν πολιτῶν ἐφυγαδεύθη.* — 12. *Ἀπολύθητι δουλείας αἰσχρᾶς· ἔσῃ δὲ ἐλεύθερος, ἐὰν ἀπολυθῇς ἐπιθυμίας.* — 13. *Τῶν Μακεδονικῶν στρατιωτῶν, οἳ ἐπὶ φυλακῇ τῆς Σκυθίας ἦσαν, πολλοὶ ἐνεδρευθέντες πρὸς τῶν Σκυθῶν*

---

1) Eine Pflanze, Zarisa. — 2) Schwache Augen, eig. Stumpfblick. — 3) S. p. 5. Anm. 4. — 4) Eig. von fremdem Volksstamme, dann: fremd, auswärtig. — 5) Wer einmal u. s. w. — 6) Seinen. — 7) d. i. Perikles.

ἐφονεύθησαν. — 14. Οἱ Καρχηδόνιοι κολουθέντες ταῖς τῶν Ῥωμαίων νίκαις ταῖς ἐν Σικελίᾳ καὶ Ἰβηρίᾳ καὶ Λιβύῃ [1]) τοῦ πολέμου ἐπαύσαντο. — 15. Βαλβῖνος καὶ Μάξιμος [2]), σὺν τοῖς ἐκ τῆς ἵππου νεανίαις καὶ τοῖς ἐστρατευμένοις [3]) στρατιώταις τοῦ Καπιτωλίου κυριεύσοντες, ὑπὸ τοῦ δήμου ξύλοις καὶ λίθοις ἐκωλύθησαν. — 16. Ἡ τοῦ Ξέρξου στρατιὰ σιτίοις μὲν καὶ ὅπλοις λαμπροῖς καλῶς ἦν ἐξηρτυμένη, ἀλλ' οὐκ ἀρετῇ στρατιωτῶν, οὐδ' ἐμπειρίᾳ στρατηγῶν. — 17. Τοῖς ἀνθρώποις ἐμπέφυτευμένη ἐστὶν ἐπιθυμία τῆς αὐτονομίας. — 18. Οὐ ῥᾴδιον τὰ τῶν ἀνθρώπων πολιτεύεσθαι· πολλοὶ γὰρ δημοκράτιαι κατελύθησαν ὑπὸ τυράννων· πολλοὶ δὲ τύραννοι ὑπὸ τοῦ δήμου ἐφονεύθησαν ἢ ἐφυγαθεύθησαν. — 19. Ὡς Ἀλέξανδρος ἐν Τάρσῳ νόσῳ τῆς στρατείας διεκωλύετο, ξυνῆν αὐτῷ Φίλιππος ἰατρός, τά τε ἀμφὶ ἰατρικὴν ἐς τὰ μάλιστα [4]) πιστευόμενος καὶ τὰ ἄλλα οὐκ ἀδόκιμος ἐν τῷ στρατῷ ὤν. — 20. Ἀντωνῖνος [5]) ἐβουλεύετο, ὅπως ὁ Ἀλέξανδρος τῆς ἀρχῆς παραλυθείη. — 21. Τῆς Λερναίας ὕδρας πεφονευμένης, ὁ Ἀλκμηνίδης τὴν τῆς Ἀρτέμιδος ἔλαφον ἤγρευσεν. — 22. Ξέρξης ὧδε τῷ Παυσανίᾳ [6])· μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνῃ κεκώλυσο, μηδὲ στρατιᾶς ἀριθμῷ. — 23. Παυσανίας ὡς [7]) τοῖς πολίταις ἐπιβουλεύων ὑπ' Ἀργιλίου τινὸς ἐμηνύθη. — 24. Τῶν Ἀθηναίων τῇ περὶ Χαιρώνειαν ἀτυχίᾳ εἰς κίνδυνον ἔσχατον κατακεκλειμένων, ὁ δῆμος ἐκέλευσεν, εἶναι τοὺς ἀτίμους ἐπιτίμους [8]).

1) Durch Scipio, in Sicilien auch durch Marcellus. — 2) Pupienus Maximus und Balbinus waren vom Senat zu Kaisern ernannt, das Volk wollte aber einen Kaiser aus der Familie des Gordianus; 238 nach Chr. Geb. — 3) Ausgediente, d. h. Veteranen. — 4) Sowohl ganz besonders in Bezug auf Arzneikunde. — 5) Ein Verwandter des A. Severus. — 6) Ergänze: schrieb. — 7) ὡς mit dem Part. zeigt den Grund an. — 8) ἐπίτιμος ist, wer alle Rechte eines Bürgers besitzt, ἄτιμος, wer sie verloren hat.

II. Dritte Declination mit dem Verbum purum.

C. Passivum.

1. *Χειμῶνος ὄντος, λιμένες ἀναμαστεύονται ὑπὸ τῶν ναυτῶν.* — 2. *Ὥςπερ τὸ σῶμα, τῆς ψυχῆς μηκέτι ἐνούσης, διαλύεται, οὕτω καὶ ἡ πόλις, τῶν νόμων μὴ ὄντων, καταλυθήσεται.* — 3. *Τὰ πράγματα τὰ τῶν πάλαι ὄντων εὐδοκίμων καὶ λαμπρῶν ἀνδρῶν ἔτι καὶ νῦν διαμνημονεύεται.* — 4. *Νόμος τοῖς Ἕλλησιν ἦν, κατὰ τὸν πάτριον τρόπον τὰ ἱερὰ ἀεὶ θεραπεύεσθαι ὑπὸ τῶν ἑκάστοτε*[1]*) ἀρχόντων.* — 5. *Συμπληγάδες πέτραι ἦσαν κατὰ τὴν τοῦ Πόντου ἔξοδον, συγκρουόμεναι*[2]*) ἀλλήλαις ὑπὸ τῆς τῶν πνευμάτων βίας.* — 6. *Οἱ Λακεδαιμόνιοι πάλαι ἦσαν πολέμιοι τοῖς Ἠλείοις, ὅτι ἐκωλύοντο ὑπ' ἐκείνων καὶ τοῦ ἱππικοῦ καὶ τοῦ γυμνικοῦ ἀγῶνος.* — 7. *Ἡ Σικελία ἐστὶ τρίγωνος*[3]*) τῷ σχήματι· τρία δ' ἐστὶν ἄκρα, Πελωρίας, Πάχυνος καὶ Λιλύβαιον· καὶ διὰ τοῦτο Τρινακρία πρὸς τῶν παλαιῶν προσηγορεύετο.* — 8. *Ὁ δεινὸς ὤν, τῆς πατρίδος εὐεργέτης εἶναι, μὴ ἀξιώματος ἀφανείᾳ κεκωλύσθω.* — 9. *Ἀπηγορευμένον ἦν ἀνδρὶ Λάκωνι μηδὲ σκυλεῦσαι τὸν πολέμιον.* — 10. *Ἐὰν οἱ ἄρχοντες μὴ κατὰ νόμους πολιτεύωνται, πάντα λέλυται.* — 11. *Ἡ ἐν Ἀθήναις ἀγορὰ ὑπὸ Κίμωνος πλατάνοις κατεπεφύτευτο.* — 12. *Ξενοφῶντος παῖδε, Γρύλλος καὶ Διόδωρος, ἐπεπαιδεύσθην ἐν Σπάρτῃ.* — 13. *Πτολεμαίου τοῦ Φιλοπάτορος βασιλεύοντος καὶ Ὁμήρῳ ναὸς ἐν Ἀλεξανδρείᾳ ἵδρυται.* — 14. *Ὠρίων, θηρευτὴς περιβόητος διὰ τὴν ἰσχὺν καὶ διὰ τὴν τῆς ὥρας λαμπρότητα, ὑπὸ τῆς Ἀρτέμιδος χόλῳ κατετοξεύθη.* — 15. *Οὔτε Λυκοῦργος, οὔτε Ἐπαμεινώνδας, οὔτε Ἀριστείδης, πλούσιοι ὄντες*

---

1) Von den jedesmaligen d. — 2) Die an einander geschlagen wurden. — 3) Dreieckig.

καὶ δουλευόμενοι, ὁ μὲν δίκαιος, ὁ δὲ θέος, ὁ δὲ σωτὴρ προσηγορεύθησαν, ἀλλ' ὅτι πένητες ὄντες τὴν Ἑλλάδα δουλείας ἀπέλυον. — 16. Οἵ τε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος ἐπὶ πολὺ [1]) καὶ πρὶν τυραννευθείσης οἱ πλεῖστοι καὶ τελευταῖοι ὑπὸ Λακεδαιμονίων κατελύθησαν. — 17. Οἱ Ἀθηναῖοι θαλάσσης ἔμπειροί εἰσι καὶ τοῖς ἄλλοις ἅπασιν ἄριστα ἐξήρτυνται, πλούτῳ τε ἰδίῳ καὶ νανσὶ καὶ ἵπποις καὶ ὅπλοις καὶ ὄχλῳ, ὅσος οὐκ ἐν ἄλλῳ ἑνί γε χωρίῳ Ἑλληνικῷ ἐστιν [2]). — 18. Ὁ στόλος ὁ τῶν Ἀθηναίων εἰς Σικελίαν, ὡς χρόνιος ἐσόμενος, καὶ νανσὶ καὶ πέζῳ, καὶ σιτίοις καὶ χρήμασιν ἦν ἐξηρτυμένος. — 19. Τῆς νυκτὸς αἱ πύλαι κεκλείσονται. — 20. Ἄριον ὁ κιθαρῳδός [3]), ἐκ τῆς Ἰταλίας εἰς Κόρινθον πορευόμενος, ἐπεβουλεύθη ὑπὸ τῶν ναυτῶν· εἰς δὲ θάλατταν καταδυόμενος, ὑπὸ δελφίνων τοῦ κινδύνου ἀπελύθη. — 21. Ὅτε τῷ Ἀγησιλάῳ, ἐξεστρατευμένῳ εἰς Μαντίνειαν, ὑπὸ Κρητός τινος ἐμεμήνυτο, ὅτι ἡ Σπάρτη τῷ τοῦ Ἐπαμινώνδου στρατεύματι ἐπιβουλευθείη, αὖθις ἐπορεύθη εἰς τοὺς ἀντιπάλους καὶ ἀπελύσατο τὴν πατρίδα τοῦ κινδύνου. — 22. Τοῦ Αἰμιλίων οἴκου ὁ πρῶτος Μάμερκος ἦν, ὡς λόγος ἦν, Πυθαγόρου παῖς τοῦ σοφοῦ, δι' αἰμυλίαν [4]) λόγου καὶ χάριν Αἰμίλιος προσαγορευθείς. — 23. Οἱ Κρῆτες βραχύτερα [5]) τῶν Περσῶν ἐτόξευον καὶ ἅμα ψιλοὶ ὄντες εἴσω τῶν ὅπλων [6]) κατεκέκλειντο. — 24. Οἱ ἐν Θράκῃ Ἕλληνες, τοῦ ἀπὸ τῶν Θρακῶν φόβου ἀπολυθέντες ὑπὸ τοῦ Φιλίππου, τῇ τοῦ ἀπολυσαμένου ξυμμαχίᾳ ἐπίστευον. —

---

1) Lange. — 2) So urtheilte über die Athener vor dem Beginn des peloponnesischen Krieges ein spartanischer König. — 3) Der zur Zither sang. — 4) Lieblichkeit. — 5) Nicht so weit als die P. — 6) Innerhalb der Schwerbewaffneten.

Erzählungen.

1. L. Furius Camillus, der zweite Gründer Roms.

Φούριος Κάμιλλος ἐπρώτευε τῶν τότε Ῥωμαίων καὶ φρονήματι καὶ ἀρετῇ. Δικτάτωρ δὲ ὢν καὶ θριαμβεύσας[1]) *πολλάκις, καὶ κτίστης τῆς Ῥώμης ἀναγορευθεὶς δεύτερος, οὐδ' ἅπαξ ὑπάτευσε. Τούτου δ' αἴτια ἦν τὰ*[2]) *τῆς τότε πολιτείας, τοῦ δήμου ἐκ διαφορᾶς πρὸς τὴν σύγκλητον ἀπαγορεύοντος, ὑπάτους μὴ*[3]) *εἶναι· Χιλιάρχους δὲ ἀντὶ τῶν ὑπάτων ὑπεδείκνυε κατ' ἐνιαυτόν.*

Οὕπω τότε περὶ τὸν τῶν Φουρίων οἶκον οὔσης μεγάλης ἐπιφανείας, αὐτὸς πρῶτος ἦν ἄξιος ὀνόματος λαμπροῦ, ἐν τῇ μεγάλῃ μάχῃ πρὸς Αἰκανοὺς καὶ Οὐολούσκους ὑπὸ Δικτάτορι Ποστουμίῳ Τουβέρτῳ στρατευόμενος. Προϊππεύων γὰρ τοῦ ἄλλου στρατοῦ οὐκ ἐπαύσατο τῆς μάχης, καίπερ τραύματι κωλυθείς, ἀλλ' ἐφυγάδευσε τοὺς πολεμίους. Καὶ μνημονεύεται αὐτοῦ ἀρχὴ τιμητικὴ ὡς καλὴ καὶ τῇ πολιτείᾳ χρησίμη οὖσα. —

Ὑστερον δὲ ἡ σύγκλητος εἰς τὸ δέκατον ἔτος τῆς τῶν Βηΐων πολιορκίαν Κάμιλλον δικτάτορα ἀνηγόρευσεν. Ὁ δὲ τήν τε πολιορκίαν πάσῃ τέχνῃ ἐπιτηδεύων καὶ ἀδήλως διὰ τῶν ὑπονόμων πορευόμενος, τὸ πόλισμα κατέλυσεν. Ὅμως ὁ δῆμος μετὰ μικρὸν χρόνον αὐτῷ εὐνοϊκῶς ὢν[4]) *ἐπαύσατο, ὅτι, πεπαυμένος ἤδη τῆς ἀρχῆς, τὴν δεκάτην τῆς λείας τῷ Ἀπόλλωνι ἀπέτισεν. — Αὐτοῦ δὲ τὴν λείαν δεκατεύσαντος, ἐπεὶ χρυσίου σπάνις ἦν ἐν Ῥώμῃ, αἱ Ῥωμαῖαι αὐταὶ ἐβουλεύσαντο ἐκδύεσθαι τὸν ἐκάστη ὄντα κόσμον, ἵνα τῷ θεῷ κρατὴρ ὁλόχρυσος καθιε-*

---

1) Die Participia durch „obgleich" aufzulösen. — 2) τὰ = der Zustand. — 3. Die Negation μή wird im Griech. nach den Verbis des Verbietens und Leugnens zum Infin. hinzugefügt, — im Deutschen nicht übersetzt. — 4. Das Partic. bei dem V. παύω-ομαι im Deutschen mit dem Inf. zu geben.

ρεύοιτο. — Ἔπειτα δὲ ἀντίπαλος ἦν τοῖς τότε δημάρχοις, οἳ διοικισμὸν τῶν πολιτῶν εἰς Βήϊους ἐπολιτεύοντο. Διὸ οἱ ἐχθροὶ αἰτίαν ἀνεμάστευσαν, ὅπως τὸν Κάμιλλον φυγαδεύσαιεν. Ὁ μὲν οὖν κατήγορος ἦν Λεύκιος Ἀπουλήϊος, ἔγκλημα δὲ κλοπῆς περὶ τὰ Τυρρηνικὰ χρήματα[1]) — Τῶν δὲ φίλων καὶ συστρατευσαμένων τὸ ἔγκλημα καταλῦσαι οὐ δυνατῶν ὄντων, ὁ Κάμιλλος ἐκ Ῥώμης ἐφυγαδεύθη. —

Παρὰ τὸν τῆς φυγῆς αὐτοῦ χρόνον οἱ Ῥωμαῖοι μέγιστον κίνδυνον ἐκινδύνευσαν, ἀφ' οὗ ἐκεῖνος ὁ ἀνὴρ αὐτοὺς ἀπέλυσεν. — Οἱ γὰρ Γαλάται δι' Εὐρώπης πορευθέντες ἱδρύθησαν ἐν τῇ ἀπ' αὐτῶν προσαγορευθείσῃ Γαλλίᾳ καὶ ἦσαν πολὺν χρόνον περὶ τὴν γεωργίαν. Ὀψὲ δὲ γευσάμενοι τοῦ Ἰταλικοῦ οἴνου καὶ ἀκούσαντες[2]) τῶν ἄλλων Ἰταλίας ἀγαθῶν, ἐξεπορεύθησαν δυναστεύσοντες τῆς χώρας, ἐν ᾗ τοιοῦτος καρπὸς φύεται. Καὶ εὐθὺς ἐκυρίευσαν τῆς χώρας τῆς πρότερον Τυρρηνικῆς. —

Κατὰ δὲ τὸν τοῦ Καμίλλου χρόνον ἐστρατεύκεισαν πρὸς Κλούσιον, πόλισμα Τυρρηνικόν. Οἱ δὲ Κλούσιοι τοὺς Ῥωμαίους ἐκέτευσαν περὶ βοηθείας· οἱ δὲ διὰ τριῶν Φαβίων πρεσβευτῶν ἐκέλευσαν τοὺς Γαλάτας λῦσαι τὴν τοῦ Κλουσίου πολιορκίαν, ὡς πόλισματος τοῖς Ῥωμαίοις ξυμμάχου ὄντος. — Τῶν δὲ Γαλατῶν τῆς πολιορκίας οὐ παυσαμένων, εἷς τῶν Φαβίων, τῆς ἐπὶ τοὺς πολεμίους μάχης κοινωνὸς πεφυκώς, Γαλάτην κατεπόξευσε καὶ ἐσκύλευσεν. Ὡς δὲ ταῦτα ἐμηνύθη Βρέννῳ, τῷ τῶν Γαλατῶν βασιλεύοντι, κατέπαυσεν αὐτίκα τοὺς στρατιώτας τῆς μάχης καὶ ἐπεστράτευσεν ἐπὶ τὴν Ῥώμην. Τῶν δὲ Ῥωμαίων αὐτῷ ἀντιστρατευσαμένων μάχῃ κρατιστεύσας, τρίτῃ ἀπὸ τῆς μάχης ἡμέρᾳ

1) Bezog sich auf die von der St. Falerii erhaltenen Gelder. — 2) ἀκούειν wird mit dem Genit. der Person, mit dem Acc. oder Genit. der Sache verbunden.

παρῆν ὁ Βρέννος πρὸς ταῖς πύλαις καὶ ἐσύλευσε καὶ κατέλυσεν ὅλην τὴν Ῥώμην πλὴν τοῦ Καπιτωλίου. — Διὰ τοῦτο ἡ ἡμέρα τῆς μάχης ἐκείνης μία τῶν ἀποφράδων ἦν. —

Ὁ δὲ Κάμιλλος, φυγαδευθεὶς ἐκ Ῥώμης τῇ τῶν πολλῶν ἀπεχθείᾳ, κατ' ἐκεῖνον τὸν χρόνον ἰδιώτευσε παρὰ τοῖς Ἀρδεάταις καὶ ἦργευσε μεχρὶ τῆς τῶν Γαλατῶν ἐμβολῆς. Ὡς δὲ αὐτῷ ἐμηνύθη τό τε πάθος τῆς πατρίδος, καὶ ὅτι τὸ πλεῖστον τῶν πολεμίων ληστεῦον καὶ προνομεῦον ἐστράτευεν ἐπὶ τοὺς Ἀρδεάτας, διεπραγματεύσατο, ὡς ἐκείνοις ἐπιβουλεύσειεν. Τοὺς δὲ νέους τῶν Ἀρδεατῶν, δι' ἀπειρίαν καὶ μαλακίαν τῶν στρατηγῶν ἀργεύοντας, παρεκέλευσε συνεκστρατεύεσθαι εἰς τοὺς πολεμίους, οἳ ἐν τῷ πεδίῳ ἐγγὺς τοῦ πολίσματος κατεστρατοπέδευντο. Οἱ δὲ προθύμως ὑπακούσαντες σὺν αὐτῷ ἐπὶ τοὺς πολεμίους τῆς νυκτὸς ἐπεστράτευσαν καὶ τοὺς πλείστους τῶν Γαλατῶν ἐφόνευσαν. Καὶ ἦν αὕτη πρώτη νίκη περὶ τῶν Βαρβάρων. Οἱ δὲ περιόντες Ῥωμαῖοι, ταύτην τὴν νίκην ἀκούσαντες, βουλευσάμενοι τὸν Κάμιλλον δικτάτορα ἀποδεικνύουσιν. —

Ὁ δὲ Κάμιλλος σὺν μεγάλῃ στρατιᾷ ἐπὶ τοὺς Γαλάτας τοὺς τὴν Ῥώμην καταλύσαντας καὶ τὸ Καπιτώλιον πολιορκίᾳ συγκλείοντας ἔστρατευσε καὶ αὐτῶν τοὺς μὲν ἐφόνευσε μάχῃ, τοὺς δὲ ἐφυγάδευσεν, ὥστε τὴν πατρίδα πωλεμίων δεινῶν ἀπελύσατο καὶ δεύτερος τῆς Ῥώμης κτίστης ἀπηγορεύθη. —

2. Vergleichung Alexanders des Großen mit andern Herrschern.

Μεγάλην ἐξουσίαν καλῶς πολιτεύειν, ἀνδρός ἐστι κεκτημένου ἀρετὴν καὶ φρένας καὶ φρόνημα, ὧν Ἀλέξανδρος ἐκυρίευσε. Πολλοὶ μὲν αὐτοῦ τὴν μέθην καὶ οἴνωσιν μνημονεύουσιν, ἀλλ' ἐκεῖνος ἦν μέγας, ἐν τοῖς

πράγμασι νηφάλιος καὶ σώφρων καὶ οὐ βακχευθεὶς ὑπ' ἐξουσίας, ἧς μικρὸν ἀπογευσάμενοι ἕτεροι ἑαυτῶν οὐ δεδυναστεύκασιν. Οἷον Κλεῖτός τις ἐν Ἀμοργῷ πλοῖά τινα Ἑλληνικὰ καταδύσας Ποσειδῶν ἀνηγορεύθη καὶ τριαιναν ἔσεισε. Δημήτριος [1]) δέ, μερίου τινὸς μικροῦ τῆς τοῦ Ἀλεξάνδρου ἀρχῆς βασιλεύων, ἐπήκουσε Καταιβάτης ἀναγορεύεσθαι· οὐδὲ πρεσβεῖαι πρὸς αὐτόν, ἀλλὰ θεωροὶ ἐπορεύοντο, καὶ τὰ ἀποφθέγματα χρησμοὶ προσηγορεύοντο. Κλέαρχος δέ, Ἡρακλείας τυραννεύσας, τῶν υἱῶν ἕνα Κεραυνὸν προσηγόρευσε. Διονύσιος δέ, ὃς τῶν μὲν πολιτῶν μυρίους ἐφόνευσε, τῷ δὲ ἀδελφῷ ἐπεβεβουλεύκει καὶ τὴν μητέρα, γραῦν οὖσαν, τοῦ βίου ἐπεπαύκει, τῶν θυγατέρων τὴν μὲν Ἀρέτην, τὴν δὲ Σωφροσύνην, τὴν δὲ Δικαιοσύνην ἀνηγόρευσεν. Οἱ δὲ Εὐεργέτας, οἱ δὲ Καλλινίκους, οἱ δὲ Σωτῆρας, οἱ δὲ Μεγάλους ἀνηγόρευσαν ἑαυτούς. Καὶ τίνα κακὰ μνημονεύεται τούτων τῶν ἀνδρῶν; — Ἀλέξανδρος δ' ἦν ἐγκρατὴς καὶ σώφρων· ἤσθιε δίς, τὸ μὲν πρῶτον, ὅτε ὁ ἥλιος ἀναδεδύκοι [2]), ἔπειτα δὲ πρὸς ἑσπέραν, ἔπιε δὲ θύσας τοῖς θεοῖς, καὶ ἐπαιδεύετο τοξεύειν καὶ ἐμβατεύειν τοῦ ἅρματος. Καὶ ἠρίστευσε τῶν μὲν Περσίδων τοσοῦτον σωφροσύνῃ, ὅσον ἀνδρείᾳ τῶν Περσῶν. — Καὶ τὰ τοῦ Δαρείου τέκνα καὶ τὴν βασίλειαν θεραπεύεσθαι καλῶς ἐκέλευσε καὶ τῷ θανάτῳ αὐτῆς συμπαθῶς ἐπεδάκρυσεν. Τοὺς δὲ τὸν Δαρεῖον δεσμεύσαντας καὶ φονεύσαντας ἀνεμάστευσεν, ὅτι τάχιστα [2]) πορευόμενος σὺν τῷ ἱππικῷ· ἀγρευθέντας δὲ φονεύεσθαι ἐκέλευσε καὶ τὸν τοῦ Δαρείου νεκρὸν θεραπεύεσθαι βασιλικῶς. — Ταῦτά ἐστι τῆς ἀρετῆς· ἦν καὶ τῆς τύχης ἡ τὰ ἐν Ἀρβήλοις [4]) καὶ τὰ ἐν Κιλικίᾳ [4])

---

1) Mit dem Beinamen Poliorketes. — 2) Der Optat. drückt nach Zeitpartikeln die Wiederholung aus. — 3) So schnell als möglich. — 4) Die Siege Alexanders bei Arbela und Issus.

καὶ τἆλλα βίας καὶ πολέμου ἔργα· ἦν καὶ ἡ τύχη σεσείκη αὐτῷ τὴν Τύρον, καὶ τύχῃ οἱ σατράπαι αὐτὸν ἱκετεύκωσιν, καὶ τύχῃ ἡ Ἀσία καὶ ἡ Αἴγυπτος ὑπήκοοι ὦσιν, οὔτοι γε σώφρων ἀπὸ τύχης, οὔτ' ἐγκρατὴς διὰ τύχης. —

3. Apollo, der delphische Gott, straft die Frevler.

Ὁ μὲν δράκων, ὁ τοῦ τῆς Γῆς ἐν Δελφοῖς μαντείου φύλαξ, ἐφονεύθη ὑπ' Ἀπόλλωνος· ὁ δὲ μετὰ ταῦτα τοῦ μαντείου ἐβασίλευσε· μεγάλη δ' ἦν ἡ παλαιὰ δόξα τῆς ἐκεῖ θειότητος, οἱ δ' Ἕλληνες μαντευσόμενοι εἰς τὸ ἱερὸν ἐπορεύοντο. Πολλῶν δ' ὄντων ἐκεῖ χρημάτων, τὸ ἱερὸν πολλάκις ὑπ' ἀνθρώπων κακῶν ἐπεβουλεύετο. — Οἷον Κριοῦ δυναστεύοντος περὶ Εὔβοιαν παῖς ὑβριστὴς ὢν ἐπεστράτευσεν εἰς Δελφοὺς καὶ ἐσύλευσε τό τε ἱερὸν καὶ οἴκους ἀνδρῶν εὐδαιμόνων. Ὡς δὲ ἐπεστράτευσε καὶ δεύτερον, ἐνταῦθα οἱ Δελφοὶ τὸν Ἀπόλλωνα ἱκέτευσαν, ἀποκρούειν τὸν ὑβριστήν. Ἡ δὲ Πυθία ἐβούλευσεν αὐτοῖς, τῇ τοῦ θεοῦ ἐξουσίᾳ πιστεῦσαι· τὸν γὰρ θεὸν τὸν ἐχθρὸν καὶ ὑβριστὴν κατατοξεύσειν ἰῷ δεινῷ· φόνου δὲ Κρησίους ἄνδρας χεῖρας ἁγιστεύσειν. Καὶ οὕτως ὁ θεὸς τό τε ἱερὸν καὶ τὸ πόλισμα ἀπελύσατο τῆς τοῦ ἀνθρώπου ὕβρεως.

4. Der falsche Smerdis.

Μετὰ Καμβύσου θάνατον Μάγος τις, ὄνομα Σπενδαδάτης, ἐβασίλευεν ἀντὶ Σμέρδιος, τοῦ Κύρου, ὃν, Καμβύσου ἀδελφοῦ κελεύσαντος, Πρηξάσπης, Πέρσης ἀνὴρ εὐγενής, κρύφα ἐπεφονεύκει. Μετὰ δ' ἐνίους μῆνας κατάδηλος ἦν τῷδε τῷ τρόπῳ· Ὀτάνης ἦν, Φαρνάσπου παῖς, ἀρετῇ καὶ χρήμασιν ὁμοῖος τῷ πρώτῳ Περσῶν. Οὗτος ὁ Ὀτάνης πρῶτος ὑπώπτευσε τὸν Μάγον, ὡς

οὐκ εἴη ὁ Κύρου Σμέρδις, ἀλλ' ὅσπερ ἦν. Ἦν δὲ αὐτοῦ θυγατὴρ ἐν ταῖς τοῦ βασιλεύοντος γυναιξί· ταύτην οὖν ἐκέλευσεν Ὀτάνης μηνύειν αὐτῷ, εἰ τῷ βασιλεύοντι ὦτα εἴη· ὁ γὰρ Μάγος τὰ ὦτα ὑπὸ τοῦ Καμβύσου κεκολουμένος αὐτῷ φανερὸς ἦν [1]). Ἐπεὶ οὖν θυγάτηρ αὐτῷ τοῦτο ἐμήνυσε, σὺν ἄλλοις τισὶ Πέρσαις γνωρίμοις ἐβουλεύσατο, πῶς ἐπιβουλεύσοιεν τῷ Μάγῳ. Βουλευσάμενοι δὲ εἰς τὰ βασίλεια ἐπορεύθησαν καὶ τὸν Μάγον ἐφόνευσαν. Περὶ δὲ τῆς βασιλείας ἐμαντεύσαντο τὸν ἥλιον, ὃν μάλιστα ἐθεράπευον οἱ Πέρσαι· τούτου δὲ μηνύσαντος Δαρεῖος ὁ Ὑστάσπου ἐβασίλευσε [2]) τῶν Περσῶν. —

5. Kürzere Anekdoten von Fürsten und Feldherren.

1. Ξέρξης, οὕτω βασιλεύσας τῶν Περσῶν, Ἀριμένην τὸν ἀδελφὸν χρήμασιν ἐθεράπευσεν· ὅτε δὲ βασιλεὺς ἀνηγόρευτο, πάντων παρ' αὐτῷ πρῶτος ἦν. —

2. Πόλτυς, ὁ Θρᾳκῶν βασιλεύς, ἐν τῷ Τρωϊκῷ πολέμῳ πρεσβευσαμένων πρὸς αὐτὸν ἅμα τῶν Τρώων καὶ τῶν Ἀχαιῶν, ἐκέλευσε τὸν Ἀλέξανδρον τὴν τῆς Ἑλένης καταγωγὴν μὴ κωλῦσαι, δύο δὲ καλὰς Θρῄσσας ἀντὶ μιᾶς Ἑλένης νυμφεύεσθαι. —

3. Γέλων ὁ τύραννος, ὅτε Καρχηδονίους πρὸς Ἱμέραν μάχῃ κατεπάλαισε, ταῖς τῆς εἰρήνης ὁμολογίαις ἐκέλευσεν, ὅτι καὶ τὰ τέκνα παύσονται τῷ Κρόνῳ καταθύοντες. —

4. Ἀγαθοκλῆς υἱὸς μὲν ἀνδρὸς κεραμεύοντος· ἀνδρείᾳ δὲ καὶ φρονήματι κύριος Σικελίας καὶ βασιλεὺς ἀνηγορεύθη. Παρὰ δὲ τὰ δεῖπνα τοῖς νέοις ἐπεδείκνυε κεράμεα ποτήρια καὶ ἐμνημόνευεν αὐτὸς τὴν προτέραν διατριβήν.

---

1) Ueberſ. „es war ihm bekannt, daß ꝛc.“ — 2) Ward König.

5. Δίων, ὁ τῆς τυραννίδος Διονυσίου τοῦ δευτέρου Συρακοσίους ἀπολύσας, ἀκούσας ἐπιβουλεύειν αὐτῷ Κάλλιππον, ᾧ μάλιστα τῶν φίλων καὶ ξένων ἐπίστευεν, ἀπέπτυσε τὸν φίλον ὑποπτεύειν· αἱρετώτερον γὰρ εἶναι [1]) θάνατον, ἢ βίον μὴ μόνον τοὺς πολεμίους, ἀλλὰ καὶ τοὺς φίλους φυλακτέον.

III. Die zweite contrahirte und attische Declination mit dem Verb. εἰμί.

1. Ἁπλῆ τῶν θεῶν δίαιτα παρὰ τῷ Ὁμήρῳ ἐστίν. — 2. Τῶν Ἀχαιῶν ἡ χλαῖνα ὡς ἐπὶ πλεῖστον [2]) ἐρεᾶ καὶ πορφυρᾶ ἦν. — 3. Τὰ κύπελλα τῶν γενναίων ἀνθρώπων ἦσαν χρυσᾶ ἢ ἀργυρᾶ. — 4. Ἁπλοῦς ἐστιν ὁ τῆς ἀληθείας λόγος. — 5. Ὁ λόγος ἐστὶ κάτοπτρον τοῦ νοῦ. — 6. Ψυχῆς χαλινὸς ἀνθρώποις ὁ νοῦς ἐστιν. — 7. Ἐξ Ἀθηνῶν σύντομός ἐστιν ὁ διάπλους πρὸς τὸ Κήναιον τῆς Εὐβοίας. — 8. Σικελίας περίπλους ἐστὶ πλοίῳ ὀλίγων ἡμερῶν. — 9. Χαρίλαος ἦν ἀδελφιδοῦς τοῦ Λυκούργου, τοῦ τῶν Λακεδαιμονίων νομοθέτου. — 10. Ὡς τοῖς μαθηταῖς οἱ διδάσκαλοι εὔνοι εἰσιν, οὕτως, ὦ μαθηταί, τοῖς διδασκάλοις ἔστε εὔνοι. — 11. Τὰ τοῦ Ὀρέστου ὀστᾶ ἐν Τεγέᾳ ἦν. — 12. Ὁ μὲν νοῦς ἀρχικός ἐστι τοῦ λόγου, ὁ δὲ λόγος ὑπηρετικὸς τοῦ νοῦ. — 13. Ἀνδρόγεως ἦν υἱὸς τοῦ Μίνω. — 14. Ὦ θεοί, ἔστε ἵλεῳ τοῖς ἱκέταις. — 15. Ὁ πλοῦτος θνητός, ἡ τῶν ἀγαθῶν δόξα ἀγήρως. — 16. Οἱ ταὼ τῆς Ἥρας ἱεροὶ ἦσαν. — 17. Ἐν τοῖς βασιλείοις καλὰ ἀνώγεώ ἐστιν. — 18. Τῷ λεῷ τῶν Ἀθηναίων ἀεὶ μῦθος Αἰσώπειος κεχαρισμένος, ἀλλ' οὐχ οἱ περὶ ἀναγκαίων

---

1) Abhängig von einem zu ergänzenden „sagte er". — 2) ὡς ἐπὶ πλεῖστον gewöhnlich. —

λόγοι. — 19. Πολλοὶ ἦσαν νεῳ τοῖς θεοῖς ἐν Ἀθήναις, καὶ πολλαὶ στῆλαι λίθιναι καὶ χαλκαῖ ἐν τοῖς νεῳς. — 20. Ὁ μὲν Σαρωνικὸς κόλπος ἀπὸ τοῦ Ἰσθμοῦ ἐπὶ τὴν ἕω ἦν, ἐπὶ δὲ τὴν ἑσπέραν ὁ Κορινθιακός. — 21. Ὁ περὶ τὸν Ἄθω πλοῦς ἦν ἐπικίνδυνος, μάλιστα τῳ τοῦ Ἀαρείου στόλῳ. — 22. Οὗτοι οἱ στρατιῶται τῇ ἀρετῇ ἀγήρω ἐπαίνου καὶ τάφου ἐπισήμου ἄξιοί εἰσιν. 23. Ὄλβιος, ὦ Μενέλεως, εἶ καὶ ἀγήρως. 24. Ἐν τῷ παρὰ τῷ νεῳ τῆς Ἐφεσίας θεᾶς χωρίῳ τῷ ἐν Ὀλυμπίᾳ ἄλλα τε πολλὰ ἦσαν θηρία θηρεύσιμα καὶ λαγῳ. —

Die zweite zuſammengezogene und attiſche Declination in Verbindung mit dem Verb. pur.

1. Τὸν εὔνουν καὶ ἀληθινὸν φίλον θεράπευε ὡς μέγιστον ἀγαθόν. — 2. Ἐκ Δωδώνης μαντεῖα ἦν, τῇ Διώνῃ ἄλλα τε ἱερεῖα θύειν καὶ τράπεζαν χαλκῆν καθιερεύειν. — 3. Ὅτε Κῦρος ὁ δεύτερος ἐπὶ τὸν ἀδελφὸν ἐστρατεύσατο, τοῦ Αἰήτου υἱδοῦς τῆς Κολχίδος ἐβασίλευσε. — 4. Τῷ Ἀπόλλωνι ἐν Δελφοῖς πολλὰ ἀναθήματα χρυσᾶ καὶ ἀργυρᾶ καὶ χαλκᾶ καθιερεύετο. — 5. Ἔστε εὔνοι, ὦ θεοί, τοῖς πορευομένοις καὶ τὸν πλοῦν ἀνύσατε. — 6. Ὁ ὄχλος ὡς ἐπὶ πλεῖστον τοῖς παθήμασιν, οὐ τῷ νῷ ἢ ἐπικελεύεται ἢ κωλύεται. — 7. Οἱ νεανίαι, τοῖς ἄνοις ἀνθρώποις πεπιστευκότες, τὴν μεγίστην συμφορὰν κεκινδυνεύκασιν. — 8. Φινεὺς ὁ μάντις ἐμήνυσε τοῖς Ἀργοναύταις τὸν ἐς Κολχίδα πλοῦν. — 9. Ζεὺς Γανυμήδην, διὰ τοῦ ἀέρος διαπορεύσας εἰς τὸν οὐρανόν, ἐκέλευσεν εἶναι οἰνοχόον τῶν θεῶν. — 10. Ἀλέξανδρος, ἀναπαύσας τὴν στρατιὰν ἐν τῇ τῶν Βακτρίων χώρᾳ, ἐστρατεύσατο ἀνὰ τὸν Ὦξον διὰ τὸν δεινὸν ῥοῦν. — 11. Κανηφόροι προσηγορεύοντο αἱ παρθένοι παρὰ τοῖς Ἀθηναίοις, αἳ ἐν κανοῖς τὰ

ἱερὰ τῶν θεῶν ἐπετήδευον. — 12. Ἐν τῷ κατάπλῳ τοῦ Ἰνδοῦ ποταμοῦ τῶν τοῦ Ἀλεξάνδρου τριακοντόρων αἱ μὲν ἐκολούθησαν, αἱ δὲ καὶ πάντη διελύθησαν. — 13. Οὐ μόνον οἱ θηρευταί, ἀλλὰ καὶ οἱ οἰωνοὶ καὶ πολλὰ θηρία ἄγρια ἐνεδρεύουσι τοῖς λαγῷς. — 14. Θεραπεύετε τοὺς θεούς, οἳ ἵλεῳ εἰσὶ τοῖς ἀγαθοῖς. — 15. Ὑπὸ τοῦ τῶν Ἀθηναίων λεὼ πολλοὶ νεῷ τοῖς θεοῖς ἵδρυνται. — 16. Ὅμηρος καὶ ἄλλοι ποιηταὶ τὴν Ἑω ῥοδοδάκτυλον προσαγορεύουσιν. — 17. Θησεὺς τὸν Μινώταυρον φονεύσας ἀπέλυσε τὸν τῶν Ἀθηναίων λεὼν τοῦ δασμοῦ τοῦ Μίνω. — 18. Τῷ Μίνῳ καὶ τῷ Ῥαδαμάνθυι καὶ τῷ Αἰακῷ, τοῖς τοῦ Ἅιδου δικασταῖς, συνήδρευον ἄλλοι τε πολλοὶ καὶ Ἀριστείδης ὁ Ἀθηναῖος. — 19 Οἱ θεοὶ ἵλεῳ εἰσὶ τοῖς λεῷς τοῖς αὐτοὺς θεραπεύουσι· τῇ γὰρ εὐσεβείᾳ οἱ λεῷ ἀριστεύουσι τῶν ἄλλων, τῇ δ' ἀσεβείᾳ ἡ δύναμις τῶν λεῶν κολούεται. — 20. Τοὺς ταὼς τῇ τῶν πτερῶν καλλονῇ πρωτεύειν τῶν ὀρνίθων, δῆλόν ἐστι· τῆς δὲ τῶν ταῶν φωνῆς ἀκούειν, οὐ κεχαρισμένον. — 21. Αἱ βακχεύουσαι οὐκ ἐν τοῖς ἀνώγεῳς τῶν βασιλείων, ἀλλ' ἐν τοῖς πεδίοις ἐχόρευον. — 22. Ἑλένη, ἡ τοῦ Μενέλεω ἄλοχος, τῇ εὐμορφίᾳ ἠρίστευσε τῶν Ἀχαϊάδων. — 23. Κέως, νῆσος ἡ ἐν τῷ Σαρωνικῷ κόλπῳ, καὶ Κία ἠγορεύετο. — 24. Πολλάκις ἐν τοῖς ποταμοῖς αἱ ὁλκάδες ταῖς κάλῳς ἑλκύονται. —

IV. Wörter der dritten Declination mit zusammengezogenen Formen mit εἰμί.

I.

1. Ἀτρεύς, τῶν Μυκηνῶν βασιλεύς, ἦν πατὴρ Ἀγαμέμνονος καὶ Μενελάου. — 2. Ἡ ἱστορία Θουκυδίδου τοῦ συγγραφέως ἐστὶν ἐξαίρετος. — 3. Οἱ νο-

μεῖς εἰσιν τῶν ἀγελῶν βασιλεῖς. — 4. Πολλαὶ νῆες ἦσαν ἀεὶ ἐν Πειραιεῖ, τῷ τῶν Ἀθηνῶν λιμένι. — 5. Τῶν βαρβάρων βασιλέων οὐκ ἴση ἐς τοὺς ὑπηκόους συνδιαίτησις. — 6. Τοῖς βασιλεῦσιν ἔστω ἐπιμέλεια τῶν πολιτῶν. — 7. Εὐδαίμονες ἔσονται οἱ παῖδες ἀγαθῶν γονέων· οἱ γὰρ γονεῖς αὐτοῖς εἰσι παράδειγμα τῆς ἀρετῆς. — 8. Ἡ ὕδραυλίς ἐστιν εὕρημα Κτησιβίου, Ἀλεξανδρέως, κουρέως τὴν τέχνην [1]). — 9. Τοῖς Λακεδαιμονίοις ναυτικοῦ οὐκ ὄντος, τῶν ξυμμάχων οἱ Κορίνθιοι καὶ Μεγαρεῖς ἡγεμόνες ἦσαν κατὰ θάλατταν. — 10. Ἐν τοῖς τῆς Ἰνδίας βασιλεῦσι βασιλικώτατος ἦν Πῶρος. — 11. Παρ' Αἰγυπτίοις τοῖς παλαιοῖς τὸ τρίτον μέρος τῆς χώρας τοῖς ἱερεῦσιν ἦν ἴδιον πρὸς τὰς τῶν θεῶν θεραπείας τε καὶ λειτουργίας. — 12. Οἱ μὲν Λακεδαιμονίων βασιλεῖς Ἡρακλέους ἔκγονοι ἦσαν, οἱ δὲ Περσῶν Ἀχαιμένους. — 13. Ἔστε εὐπειθεῖς, ὦ παῖδες, τοῖς γονεῦσιν· ὁ γὰρ τοῖς γονεῦσι πειθόμενος τοῖς τε ἀνθρώποις καὶ τῷ θεῷ ἔσται κεχαρισμένος. — 14. Πολλοὶ μὲν καὶ γενναῖοι ἦσαν καταφανεῖς [2]) ἐρασταὶ τοῦ Ἀλκιβιάδου διὰ τὴν λαμπρότητα τῆς ὥρας· ὁ δὲ Σωκράτους ἔρως μέγα μαρτύριον ἦν τῆς ἀρετῆς καὶ εὐφυΐας τοῦ παιδός. — 15. Τοῦ Περικλέους τῶν μουσικῶν διδάσκαλος ἦν Δάμων τις κατά γε τῶν πολλῶν γνώμην· ὁ δέ, ἄκρος ὢν σοφιστής, τῷ Περικλεῖ συνῆν καθάπερ ἀθλητῇ τῶν πολιτικῶν διδάσκαλος. — 16. Θεμιστοκλεῖ τὰ μὲν ἐκ γένους ἀμαυρότερα πρὸς δόξαν ἦν· πατρὸς γὰρ ἦν Νεοκλέους οὐ τῶν ἄγαν ἐπιφανῶν Ἀθηναίων, νόθος δὲ πρὸς μητρός. — 17. Σίκιννος τῷ μὲν γένει Πέρσης, αἰχμάλωτος, εὔνους δὲ τῷ Θεμιστοκλεῖ καὶ τῶν τέκνων αὐτοῦ παιδαγωγός. — 18. Ὦ Ἡράκλεις, πόση ἡ τῆς [3])

1) Accus. der Beziehung „seines Gewerbes" oder „seiner Kunst nach". 2) Durch das Adverb. zu übersetzen. 3) Uebersetze den Artikel durch „deiner".

ἀρετῆς καὶ τῶν πραγμάτων δόξα. — 19. *Μεγάλα ἦν τὰ τοῦ Παλαμήδους πάθη· αἴτιος δὲ τοῦ θανάτου αὐτοῦ Ὀδυσσεύς.* — 20. *Μηδέποτε ἔστε ἀκρατεῖς τῶν παθῶν· οὐ γὰρ ἄρχοντες αὐτῶν, ἀλλὰ δοῦλοι ἔσεσθε.* — 21. *Ἐν Αἰγαῖς, Αἰολικῷ πολισματίῳ, Θεμιστοκλῆς ἦν πᾶσιν ἄγνωστος πλὴν τοῦ ξένου Νικογένους, ὃς Αἰολέων πλείστην οὐσίαν κεκτημένος καὶ τοῖς ἄνω δυνατοῖς γνώριμος ἦν.* — 22. *Ὁμονοίᾳ τῶν πολιτῶν ἰσχυροτέρα ἡ πόλις ἢ μεγίστῳ τείχει.* — 23. *Αἱ Ἐρινύες εἰσὶ δαίμονες τοῦ φόβου καὶ τοῦ δείματος.* — 24. *Οἱ λῆροι τῶν γραῶν ἐπαχθεῖς εἰσιν.* —

II.

1. *Κάτοπτρον εἶδους χαλκός ἐστιν, οἶνος δὲ νοῦ.* — 2. *Ἐν Βοιωτίᾳ δύο εἰσὶν ἐπίσημα ὄρη, τὸ μὲν Ἑλικών, ἕτερον δὲ Κιθαιρὼν τοὔνομα*). — 3. *Περικλῆς ἦν τῶν μὲν φυλῶν Ἀκαμαντίδης, τῶν δὲ δήμων Χολαργεύς, οἴκου δὲ καὶ γένους τοῦ πρώτου κατ' ἀμφοτέρους.* — 4. *Ἀνάξαρχός τις Ἀλεξάνδρῳ τῷ βασιλεῖ ἐπὶ σοφίᾳ τε καὶ παιδεύσει ξυνῆν.* — 5. *Φαρασμάνης, ὁ Χωρασμίων βασιλεύς, ὅμορος ἦν τῷ τε Κόλχων γένει καὶ ταῖς Ἀμαζόσιν.* — 6. *Μετὰ τὸν Ἀγαθοκλέους θάνατον πάντα ἐν Σικελίᾳ μεστὰ ἦν στάσεως καὶ ἀναρχίας.* — 7. *Δόξα καὶ πλοῦτος ἄνευ συνέσεως οὐκ ἀσφαλῆ κτήματα.* — 8. *Ἡ φύσις ἄνευ μαθήσεως τυφλόν, ἡ δὲ μάθησις ἄνευ φύσεως ἐλλιπές.* — 9. *Ὡς σώματι ψυχή, οὕτω πόλει νόμοι ἀναγκαῖοί εἰσιν.* — 10. *Τῆς μὲν διαστάσεως τῶν ἀδελφῶν οὐδὲν αἰσχρότερον· τῶν δὲ ὁμοφρόνων συμβίωσις παντὸς τείχους ἰσχυροτέρα.* — 11. *Ἀνάχαρσις τῷ γένει, ἀλλ' οὐ τῷ τρόπῳ Σκύθης ἦν.* — 12. *Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσει, ἐὰν εὐπειθὴς ᾖς τοῖς θείοις νόμοις.* — 13. *Ῥῆμά ἐστι*

*) = τὸ ὄνομα acc. = mit Namen, Namens.

Δημάδου τοῦ ῥήτορος, τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶναι. — 14. *Μέμνων ὁ Ῥόδιος ἀνδρείᾳ καὶ συνέσει στρατηγικῇ διάφορος ἦν.* — 15. *Οἱ γονεῖς καὶ διδάσκαλοι αἰδοῦς τῶν παίδων καὶ μαθητῶν ἄξιοί εἰσιν.* — 16. *Πειθοῖ πάντα εἴη ἂν αἱρετὰ παρὰ τοῦ πλήθους.* — 17. *Ἡ βασιλέως* [1]) *ἀρχὴ πλήθει μὲν χώρας καὶ ἀνθρώπων ἰσχυρὰ ἦν, τοῖς δὲ μήκεσι τῶν ὁδῶν ἀσθενής.* — 18. *Μὴ ἐκ τῶν λόγων, ἀλλ' ἐκ τῶν πράξεων κριτὴς ἴσθι τῶν ἀνθρώπων.* — 19. *Τοῖς Σκύθαις οὔτε πόλεις εἰσίν, οὔτε ἀσφαλῆ οἰκητήρια, ἅμαξαι δ' ἀντὶ αὐτῶν· κτήματα δ' αὐτοῖς κτηνῶν καὶ ἵππων πολὺ πλῆθος.* — 20. *Ἐπειδὴ τιμή ἐστι γέρως ἀπόδοσις, γέρας δέ ἐστιν ἆθλον ἀρετῆς, τοῖς μὲν εὐσεβέσι καὶ τιμὴ καὶ γέρας ἀποδοτέα, τοῖς δὲ ἀσεβέσι τὰ ἐναντία.* — 21. *Πρὸ τῶν τυραννίδων ἐν ταῖς τῆς Ἑλλάδος πόλεσιν ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι.* — 22. *Τυῤῥηνῶν ἐστιν εὕρημα κέρα καὶ σάλπιγγες.* — 23. *Οἱ βότρυες τῇ ἀλώπεκι ὄμφακες ἔτι εἰσίν, εἰ ἄψαυστοί εἰσιν.* — 24. *Τὰ τείχη τοῦ τῶν Ἀθηναίων ἄστεος ἔργον ἦν Θεμιστοκλέους τοῦ Νεοκλέους.* —

IV. Dritte contrah. Declination mit dem Verb. pur.

1. *Οἱ ἀγαθοὶ γονεῖς τοὺς παῖδας κάλλιστα τῷ παραδείγματι παιδεύουσιν.* — 2. *Οἱ ἱερεῖς παρὰ τοῖς παλαιοῖς ἔθνον τοῖς θεοῖς παντοῖα ἱερεῖα, βοῦς καὶ οἷας καὶ αἶγας.* — 3. *Τοῖς μὲν ἀγκίστροις ἐνδρεύουσιν οἱ ἄνθρωποι τοῖς ἰχθύσι, τοῖς δὲ μαλακοῖς λόγοις οἱ κόλακες τοῖς εὐηθέσιν.* — 4. *Ἦσαν παρὰ τοῖς Πέρσαις βασιλέως ἀγορευόμενοι* [2]) *ὀφθαλμοὶ καὶ βασιλέως ὦτα· οἱ μὲν γὰρ ἀντὶ τοῦ βασιλέως κατώπτευον τὰ*

1) Des Perserkönigs. — 2) Ueberf. „so genannte".

βασιλεῖ σύμφορα ἢ τὰ μὴ σύμφορα, οἱ δὲ ἤκουον. — 5. Ἄρχοντες μέν εἰσι καὶ οἱ βουκόλοι τῶν βοῶν καὶ οἱ ἱπποφορβοὶ τῶν ἵππων· καὶ πάντες δὲ οἱ ἀγορευόμενοι νομεῖς, ὧν ἂν ἐπιστατεύωσι ζώων, εἰκότως ἂν ἄρχοντες τούτων ἀγορεύοιντο· καὶ εὐπειθεῖς εἰσιν αἱ ἀγέλαι τοῖς νομεῦσιν. — 6. Οἱ τοῦ Λάτιδος καὶ Ἀρταφέρνους ἱππεῖς τὰ τῶν Ἐρετριέων ἱερὰ συλεύσαντες πυρὶ κατέλυσαν, ἀποτιόμενοι τὰ ἐν Σάρδεσι καταλυθέντα ἱερά. — 7. Ὁ πονηρὸς οὐκ ἀπολαύσεται τῶν πονηρῶν κερδῶν, ἀλλ' ἀποτίσει ζημίαν τῆς ἀδικίας. — 8. Οἱ Ἀθηναῖοι μέγαν κίνδυνον ὑπὲρ τῶν παίδων τῶν Ἡρακλέους πρὸς Εὐρυσθέα, τὸν τῆς Τίρυνθος βασιλέα, διεκινδύνευσαν. — 9. Οἱ συγγραφεῖς ἀσύμφωνοί εἰσι περὶ τῆς τοῦ Κλείτου ἀναιρέσεως· τὸ δὲ πᾶσιν ὁμολογούμενον [1]), τὸν βασιλέα [2]) οὐδὲ σίτου οὐδὲ πότου γεύσασθαι ἔστε ἐπὶ τρεῖς ἡμέρας, οὐδὲ τὴν ἄλλην θεραπείαν θεραπεῦσαι τὸ σῶμα. — 10. Οἱ κολακεύοντες ἄνδρες οὔποτε παύσονται τοῖς τῶν ἀεὶ βασιλέων πράγμασι κακοὶ ὄντες [3]). — 11. Ἐκ τῆς περὶ τῆς προσκυνήσεως διαφορᾶς μέγα μῖσος ἐπεφύκει Ἀλεξάνδρου πρὸς Καλλισθένη, τὸν φιλόσοφον καὶ συγγραφέα. — 12. Ἀγαρίστη, ἡ τοῦ Περικλέους μήτηρ, ἦν ἔγγονος Κλεισθένους, ὃς ἐφυγάδευσε τοὺς Πεισιστρατίδας καὶ κατέλυσε τὴν τυραννίδα. — 13. Οἱ ἀμαθεῖς καθάπερ ἐν πελάγει καὶ νυκτὶ ἔνθα καὶ ἔνθα ἐν τῷ βίῳ πορεύονται. — 14. Ζεὺς ἐκ Λητοῦς τῷ κάλλει διαφόρου ἔφυσεν Ἀπόλλωνα καὶ Ἄρτεμιν. — 15. Οἱ Πέρσαι τῶν Ἑλλήνων τὰ ἱερὰ καὶ τὰς πόλεις πυρὶ καὶ σιδήρῳ κατέλυσαν πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας. — 16. Οἱ Ἀργοναῦται καθιέρευσαν τὴν Ἀργὼ τῷ Ποσειδῶνι. — 17. Τῇ τοῦ Θεμιστοκλέους πειθοῖ ὑπακούσαντες, οἱ Ἀθηναῖοι τῷ ξυλίνῳ τείχει, ὃ ἐμαντεύσατο ὁ θεός, ἐπίστευ-

1) das aber von Allen Zugeſtandene iſt, daß. 2) Alexander.
3) „zu ſchaden".

σαν καὶ ἀνέλυσαν εἰς Τροιζῆνα καὶ Σαλαμῖνα. — 18. Ἐξ ἐχθῶν στάσεις φύονται, ἐκ δὲ στάσεων φόνοι. — 19. Πολλὰ κακὰ τῷ μακρῷ γήρᾳ ἐμπέφυκε· νοῦς φροῦδος, ἀχρεῖα ἔργα, κεναὶ ἐλπίδες. — 20. Ὁ πλοῦτος ὀλισθηρός ἐστι καί, ὥσπερ αἱ ἐγχέλεις ἢ οἱ ὄφεις, διὰ τῶν δακτύλων δραπετεύει. — 21. Οἱ Ἴωνες ἐξηρτύοντο πολὺ τὸ ναυτικόν· καὶ ἦσαν αὐτοῖς πολλαὶ νῆες καὶ τριήρεις ἐπὶ Κύρου Περσῶν πρώτου βασιλεύοντος καὶ Καμβύσου τοῦ υἱέος αὐτοῦ. — 22. Ὀλίγον πρὸ τῶν Μηδικῶν καὶ τοῦ Δαρείου θανάτου, ὃς μετὰ Καμβύσην Περσῶν ἐβασίλευσε, τριήρεις περί τε Σικελίαν τοῖς τυράννοις ἐς πλῆθος ἦσαν καὶ Κερκυραίοις. — 23. Οἱ μὲν ὄφεις ἐκδύονται τὸ γῆρας μεταστάσει τοῦ δέρματος· τοῖς δ' ἄλλοις ζώοις τὰ κακὰ τοῦ γήρως ὁ θάνατος λύει. — 24. Ἀλέξανδρος στρατεύσας εἰς τὴν Ἰνδίαν χωρίῳ τινὶ ὀχυρῷ διεκωλύθη· προσηγορεύετο δὲ αὕτη Χοριήνου ἡ πέτρα· ἦν δὲ τὸ μὲν ὕψος τῆς πέτρας ἐς σταδίους εἴκοσιν, αὐτὴ δὲ ἀπότομος πάντοθεν· ἄνοδος δὲ ἐς αὐτὴν μία, καὶ αὐτὴ στενή τε καὶ οὐκ εὔπορος· ἦν δὲ ἐν αὐτῇ πλῆθος σίτου καὶ οἴνου, κρέα τε τεταριχευμένα εἰς δίμηνον. —

V. Anomale Substantiva der dritten Declination: a) mit εἰμί.

1. Ταῖς γυναιξὶν ὁ αἰδὼς ἐστιν εὐπρεπής. — 2. Παρὰ τοῖς παλαιοῖς γυναικῶν ἔργα ἦσαν ἱστοί, οὐδὲ ἐκκλησίαι. — 3. Τῶν Μήδων καὶ Περσῶν καλαὶ καὶ μεγάλαι γυναῖκες καὶ παρθένοι ἦσαν. — 4. Ὦ Ζεῦ βασιλεῦ, τῆς λεπτότητος*) τῶν φρενῶν τοῦ ἀνθρώπου. — 5. Οἱ ἱκέται καὶ ξένοι εἰσὶν ἐπὶ Διὶ τῷ Ἱκε-

*) Ueberſ. den Genit. durch „über".

σίῳ καὶ Ξενίῳ· καὶ ὁ τοὺς ἱκέτας καὶ ξένους ἀδικῶν Διὸς ὑβριστής ἐστιν. — 6. Αἱ Μοῦσαι θυγατέρες ἦσαν Διὸς καὶ Μνημοσύνης. — 7. Παροιμία ἐστί, κλεῖν (κλῆδα) ἢ βοῦν εἶναι ἐπὶ γλώσσῃ τινί, τοῦτ' ἔστιν [1]), αὐτὸν ἐχέμυθον εἶναι διὰ χρήματα. — 8. Οὐχ ἡ αὐτὴ ἀνδρός τε καὶ γυναικὸς ἀρετή· τοῦ μὲν γὰρ τοὔνομα καὶ εἶδος καὶ τὰ πράγματα πᾶσιν ἔστω γνώριμα· τῆς δὲ ἀγαθῆς γυναικὸς τοὔνομα κατάκλειστον καὶ ἀνέξοδον. — 9. Τῇ Καδμείᾳ Σφιγγὶ σῶμα μὲν κυνός, κεφαλὴ δὲ καὶ πρόσωπον κόρης, πτέρυγες δὲ ὄρνιθος, φωνὴ δὲ ἀνθρώπου. — 10. Κάστωρ καὶ Πολυδεύκης, Τυνδάρεω καὶ Λήδας υἱεῖς, τῶν νεῶν καὶ ναυτῶν σωτῆρες ἦσαν. — 11. Ἡ παρὰ ταῖς ναυσὶ μάχη τῶν Τρώων καὶ Ἀχαίων δεινοτάτη καὶ μεγίστη ἦν. — 12. Αἱ τῶν μαρτύρων μαρτυρίαι πολλάκις ἄπιστοί εἰσι· τοῖς γὰρ μάρτυσι πολλάκις κλεὶς ἢ βοῦς ἐστιν ἐπὶ τῇ γλώσσῃ.

b) mit dem Verbum purum.

1. Ὡς ἐπὶ τὸ πολὺ φρέατα ἢ λάκκοι ἢ κρῆναι ἔξω τῶν κωμῶν τῶν Ἀσιανῶν ἦσαν, ἐξ ὧν αἱ γυναῖκες καὶ κόραι ἀμφὶ κνέφας ὑδρεύοντο. — 2. Προσαγορεύομεν καὶ Δία καὶ Ζῆνα τὸν ὕπατον τῶν θεῶν, ὅτι πᾶσιν αἴτιός ἐστι τοῦ βίου ἢ τῆς ζωῆς. — 3. Ἐπεὶ οἱ τοῦ Ξενοφῶντος Ἕλληνες διεπορεύθησαν ἐπὶ θάλατταν εἰς Τραπεζοῦντα, πόλιν Ἑλληνίδα, Σινωπέων ἀποικίαν ἐν τῷ Εὐξείνῳ Πόντῳ, ἀπέθυσαν τῷ Διὶ τῷ Σωτῆρι σωτήρια καὶ τῷ Ἡρακλεῖ ἡγεμόσυνα. — 4. Τελεσίλλη καὶ ταῖς ἄλλαις Ἀργείαις γυναιξίν, αἷ Κλεομένη τὸν τῶν Σπαρτιατῶν βασιλέα ἀπὸ τῶν τῆς πόλεως τειχῶν ἀπεκρούσαντο, ὑπόμνημα τῆς ἀρετῆς Ἐνύαλιος ἵδρυται. — 5. Αἱ τοῦ Ἅιδου κλεῖς ἦσαν ἐν φυλακῇ τοῦ Αἰακοῦ· ὁ γὰρ προὔστατευε τῆς τῶν νεκρῶν εἰς Ἅιδου [2]) εἰσόδου.

---

1) Das heißt. 2) Denke hinzu, οἶκον, „Haus".

— 6. Ὁ Ἡρακλῆς χωρὶς ὅπλων ἐπάλαισε Κερβέρῳ, τῷ Ἅιδου φύλακι καὶ ἐκυρίευσεν αὐτοῦ· τῷ δὲ ἦσαν τρεῖς κυνῶν κεφαλαί, ἡ δὲ οὐρὰ δράκοντος, κατὰ δὲ τοῦ νώτου παντοίων ὄφεων κεφαλαί. — 7. Φαρνάβαζος καὶ Κόνων μετὰ τὴν ἐπὶ Κνίδῳ ναυμαχίαν ταῖς ναυσὶν ἐπὶ τοὺς τῶν Λακεδαιμονίων ξυμμάχους ἐστράτευσαν καὶ τὴν τῶν ἁρμοστῶν ἀρχὴν κατέλυσαν. — 8. Τοῖς μὲν πιστοῖς μάρτυσιν ἀεὶ πεπιστεύκαμεν, τοῖς δ' ἀπίστοις οὔποτε πιστεύσομεν. — 9. Ἄπειρον ἦν ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ πλῆθος τῶν νεῶν τῶν Περσῶν· ἀλλ' ὅμως οὐδὲν ἴσχυον πρὸς τὰς ὀλίγας τῶν Ἑλλήνων ναῦς. — 10. Τὼ παῖδε τῆς Μηδείας οὔτε ἐδακρυέτην, οὔτε ἐσειέσθην τῷ ξίφει ἐν ταῖν χεροῖν τῆς μητρός, ἣ αὐτὼ φονεύσουσα ἦν. — 11. Ἱππίας μέν, πρεσβύτατος ὢν τῶν Πεισιστράτου υἱέων, μετὰ τοῦ πατρὸς θάνατον ἐτυράννευσεν Ἀθηνῶν, Ἵππαρχος δὲ καὶ Θεσσαλὸς ἀδελφοὶ ἦσαν αὐτοῦ. — 12. Παρακελεύονται οἱ πατέρες τοῖς υἱέσιν, εὐσεβεῖς καὶ δικαίους καὶ ἀληθινοὺς καὶ εὐπειθεῖς εἶναι. —

VI. Comparation der Adjectiva.

1) Regelmäßige der Adj. auf ος mit εἰμί.

1. Ἡ ἀρετὴ εὐπορωτέρα καὶ ἰσχυροτέρα τῆς κακίας. — 2. Ἀριστείδης πτωχότατος ὢν πάντων Ἀθηναίων ἐντιμότατος ἦν. — 3. Σιγὴ πολλάκις ἐστὶν αἱρετωτέρα λόγου*). — 4. Πολλάκις ἄνδρες πένητες σοφώτεροι τῶν πλουσίων. — 5. Σοφία κτῆμα πλούτου τιμιώτερόν ἐστιν. — 6. Πλοῦτος ἀπιστότατον ἂν εἴη κτῆμα. — 7. Οἱ σοφώτατοι ἄνθρωποι ἔσονται καὶ κοσμιώτατοι. — 8. Οἱ Σκύθαι ἦσαν πολεμικώτεροι τῶν Περσῶν. — 9. Ὁ ἰσχυρότερος καὶ εὐτολμότερος ἔστω ἐπίκουρος τῷ ἀῤῥώστῳ. — 10. Οἱ ὑψηλοὶ τῶν

*) Der Genit. nach dem Comparat. für ἤ mit dem Nominativ.

τόπων ὑγιεινότεροί εἰσι τῶν ταπεινῶν, οἱ δὲ μεσόγειοι ψυχρότεροι τῶν παραθαλαττίων. — 11. Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος. — 12. Δόξα ἦν τῶν παλαιῶν, τὸν μέλανα οἶνον εἶναι θρεπτικώτατον, τὸν δὲ λευκὸν λεπτότατον. — 13. Ἀρετῆς οὐδὲν χρῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστιν. — 14. Εὐαγόρας, Κύπρου ἄρχων, οὐ μόνον θαυμαστότατος, ἀλλὰ καὶ μακαριώτατος ἦν ἀεί. — 15. Οἱ στρατιῶται τῶν Περσῶν δειλότεροι ἦσαν ἢ οἱ τῶν Ἑλλήνων· οἱ δὲ Ῥωμαῖοι στρατιῶται ἦσαν ἐν τοῖς ἀλκιμωτάτοις. — 16. Σοφώτατον τῶν ὄντων ὁ χρόνος· διδάσκαλος γάρ ἐστι πάντων χρημάτων. — 17. Ἡ Θετταλία ψυχροτέρα τῆς Ἑλλάδος ἐστίν, ἀλλ' οὐκ ἀφορωτέρα. — 18. Ἴσθι σπουδαιότερος τοῦ ἐπαίνου τῶν ἀγαθῶν, ἢ τῶν κακῶν. — 19. Τοῖς νοσηροῖς αἱ ὀδύναι ἰσχυρότεραι τῆς νυκτός εἰσιν. — 20. Οἱ Γαλακτοφάγοι, Σκυθικὸν ἔθνος, ἦσαν δυσμαχώτατοι καὶ δικαιότατοι. — 21. Ῥῆμά ἐστι τοῦ Αἰσώπου, τὸν λόγον ἰσχυρότατον εἶναι τῶν ἐν ἀνθρώποις *). — 22. Οἱ Ἀθηναῖοι ἦσαν ἐνδοξότεροι ἢ οἱ Σπαρτιᾶται ἐπὶ τῇ ἐν τοῖς πολέμοις πρὸς Πέρσας ἀρετῇ. — 23. Νομιμώταται καὶ σεμνόταται καὶ δικαιόταται ἦσαν παρὰ τοῖς Ἀθηναίοις αἱ δίκαι τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς. — 24. Ἀλκιβιάδης καὶ Πλάτων καὶ Ξενοφῶν, μαθηταὶ καὶ φίλοι τοῦ κλεινοτάτου τῶν Ἑλλήνων φιλοσόφου, νεανίαι ἦσαν ὡραιότατοι καὶ εὐπροσωπότατοι καὶ γνωριμώτατοι. —

2. Regelmäßige der Adj. auf ος mit dem Verb. purum.

1. Τὰ μὲν λαμπρότατα πολλάκις μαστεύομεν, τὰ δὲ χρησιμώτατα οὔ. — 2. Τῶν πολιτῶν τῶν ἐνδοξοτάτων καὶ ἐπισημοτάτων οἱ Ἀθηναῖοι τοὺς μὲν ἐφυγάδευον, τοὺς δὲ ἐφόνευον. — 3. Καλλίας, πλουσιώτατος

*) τὰ ἐν ἀνθρ. die menschlichen Dinge.

τῶν Ἀθηναίων, Ἐλπινίκην, τὴν τοῦ Κίμωνος ἀδελφήν, ἐμνήστευσεν. — 4. Δαρεῖος Κοδόμαννος δυσποτμότατος τῶν ἀρχόντων τῶν Περσῶν, ἐφονεύθη ὑπὸ τοῦ Βήσσου, ὑβριστοτάτου καὶ βιαιοτάτου τῶν σατραπῶν. — 5. Παιδεύονται οἱ νεώτεροι τῇ τῶν γερόντων ἐμπειρίᾳ. — 6. Ἕκτορος, τοῦ ἀνδρειοτάτου τῶν Πριαμιδῶν, φονευθέντος ὑπὸ τοῦ Πηλείδου, τοῦ κλεινοτάτου τῶν Ἀχαιῶν, Ἴλιος κατελύθη. — 7. Ὁ παυσάμενος τῆς ἀρχῆς ἔστω ἐνδοξότερος, ἀλλὰ μὴ πλουσιώτερος. — 8. Ἀλέξανδρος ἀκούσας, τῶν στρατιωτῶν ἀνδρειοτάτους καὶ ἐμπειροτάτους τῇ ἐνέδρᾳ τῶν Σκυθῶν ἢ κατατετοξεῦσθαι ἢ κατακεκλεῖσθαι, σὺν τοῖς ὑπασπισταῖς καὶ τοῖς τοξόταις καὶ τοῖς τῆς φάλαγγος κουφοτάτοις ἐπ' ἐκείνους ἐστράτευσεν. — 9. Κάμιλλος ἀκούσας, Σατρίαν πόλισμα ὑπὸ Τυρρηνῶν καταλελύσθαι, τοὺς δὲ ἀνδρειοτάτους οἰκήτορας πεφονεῦσθαι, ἐπ' αὐτοὺς ἐστράτευσε σὺν τοῖς ῥωμαλεωτάτοις καὶ προθυμοτάτοις τῶν στρατιωτῶν καὶ τοὺς μὲν*) ἐφυγάδευσε, τοὺς δὲ ἐφόνευσεν. — 10. Τοῖς Ἕλλησι βουλευσαμένοις φανερὸν ἦν, ἐπιπονωτέραν καὶ ἐπικινδυνοτέραν εἶναι ἄνευ Κύρου τὴν κάθοδον, ἢ τὸν πόλεμον, τοῦ Κύρου στρατεύσαντος. — 11. Τῶν Ἑλλήνων τοὺς πιστοτάτους ἐκέλευσε Κῦρος ὁ δεύτερος σωματοφύλακας εἶναι. — 12. Οἱ τοῦ Κύρου βάρβαροι ἦσαν πολεμιώτεροι τοῖς Ἕλλησιν, ἢ οἱ τοῦ Ἀρταξέρξου, ἐφ' ὃν ἐστρατεύσαντο. — 13. Ἡ μὲν Νίνος ἦν πλουσιωτάτη καὶ ἐνδοξοτάτη, ἡ δὲ Βαβυλὼν ἐχυρωτάτη καὶ λαμπροτάτη, ἡ δὲ Ἴλιος μεγαλειοτάτη καὶ ἐπισημοτάτη· πᾶσαι καταλέλυνται, οὐδὲ ἴχνος ἔτι αὐτῶν λοιπόν ἐστιν. — 14. Αἱ Μοῦσαι ἱδρύθησαν ἐν τῷ Παρνασσῷ, ὃς ἦν οὐχ ὑψηλότερος, ἀλλ' ἐνδοξότερος ἢ ὁ Καύκασος. — 15. Πότερον ἡ ζωὴ ἢ ὁ θάνατος ἰσχυρότερον; κατὰ τὴν τῶν Ἰνδῶν δόξαν ἡ ζωὴ ἰσχύει μᾶλλον· πολλῶν

*) Einige — andere: theils — theils.

γὰρ καλῶν αἰτία ἐστίν. — 16. Τοῦ Ἀλκιβιάδου Περικλῆς παιδαγωγὸν τῶν οἰκετῶν τὸν ἀρχαιότατον, Ζώπυρον τὸν Θρᾷκα, εἶναι ἐκέλευσεν. — 17. Τῶν Ἰνδῶν τὸν δεινότατον ὄντα τοξεύειν ὁ Ἀλέξανδρος ἀπέλυσε μετὰ δώρων. — 18. Ὁ αὐτὸς ἀκούσας, πέτρας τινὸς ἀβάτου οὔσης ἄρχοντα δειλότατον ἀνθρώπων εἶναι, παρεκέλευσε τοὺς στρατιώτας ἐπιστρατεύεσθαι· ἁλώσιμον γὰρ εἶναι*). — 19. Τοῖς Πέρσαις δουλικώτατον μὲν ἦν τὸ τῇ τρυφῇ δουλεύειν, βασιλικώτατον δὲ τὸ τῷ πόνῳ τῶν ἄλλων ἀριστεύειν. — 20. Ἀλέξανδρος, μεγαλοδωρότατος ὤν, ἐθεράπευε τοὺς φίλους τοῖς τε μεγίστοις καὶ λαμπροτάτοις δώροις. — 21. Πολλῶν ὄντων καὶ μεγάλων παθημάτων τοῦ Ἀλκιβιάδου τὸ φιλόνεικον ἰσχυρότατον ἀπομνημονεύεται. — 22. Οὐκ ἄξιον πιστεῦσαι ταῖς τοῦ Ἀντιφῶντος λοιδορίαις τοῦ Ἀλκιβιάδου, ἐπεὶ αὐτῷ ἐναντιώτατος ἦν. — 23. Μαχιμώτατοι τῶν Αἰγυπτίων οἱ ἕλειοι· μάλιστα δὲ ἐν τοῖς πρὸς τοὺς Πέρσας πολέμοις τῇ ἀρετῇ ἠρίστευσαν. — 24. Κριτίας, ὁ τῶν τριάκοντα βιαιότατος, ἐν τῇ πρώτῃ πρὸς Θρασύβουλον μάχῃ ἐφονεύθη. —

3) Comparation der Adjectiva auf ης, ης, ας, εις mit εἰμί.

1. Τῶν ἀνθρώπων οἱ μὲν ὀξύτεροι, οἱ δὲ ἀμβλύτεροί εἰσιν. — 2. Ὁ Νεῖλος γλυκύτατός ἐστι πάντων τῶν ποταμῶν. — 3. Τοῖς μὲν πενίας, τοῖς δὲ γήρως οὐδέν ἐστι βαρύτερον φορτίον. — 4. Ὁ θάνατος τῷ βαδυτάτῳ ὕπνῳ παραπλήσιός ἐστιν. — 5. Οἱ πρεσβύτατοι καὶ ἐμπειρότατοι τῆς χώρας τῇ στρατιᾷ ἐπιτηδειότατοι ἡγεμόνες εἰσίν. — 6. Κῦρος ὁ δεύτερος, ἔτι

*) Von einem zu ergänzenden „sagte er" (ἔφη) abhängig zu machen.

παῖς ὤν, τοῖς πρεσβυτέροις εὐπειθὴς ἦν, καὶ εὐπειθέστερος ἢ οἱ ὑποδεέστεροι. — 7. Ὕλλος Ἡρακλεῖ ἐκ Δηϊανείρας ἦν παῖς πρεσβύτατος. — 8. Οἱ ποταμοί, ἵνα μὲν στενώτατοι, καὶ βαθύτατοι διὰ στενότητα καὶ ὀξύτατοι, ἵνα δὲ πλατύτατοι, καὶ ἀβαθέστατοι διὰ πλατύτητα καὶ πραΰτατοι. — 9. Οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον. — 10. Λόξα ἀσθενὴς ἄγκυρα, πλοῦτος ἔτι ἀσθενεστέρα. — 11. Οἱ Αἰθίοπες μελάντεροί εἰσι τῶν ἄλλων ἀνθρώπων. — 12. Μεγάλοι καὶ εὐρεῖς εἰσιν οἱ τῆς Ἰνδίας ποταμοί· ὁ δὲ Ἰνδὸς καὶ ὁ Γάγγης εὐρύτατοι. — 13. Οἰδίπους ὁ βασιλεὺς ταλάντατος ἦν καὶ υἱὸς καὶ πάτηρ. — 14. Τῶν μὲν θεῶν ἡ Ἀφροδίτη, τῶν δὲ γυναικῶν Ἑλένη εὐειδεστάτη ἦν. — 15. Ἐν ταῖς πόλεσι τιμητέστεροί εἰσιν οἱ πλούσιοι τῶν πενεστέρων. — 16. Κόνων ἦν ἐπιμελέστατος μὲν τῶν στρατηγῶν, πιστότατος δὲ τοῖς Ἕλλησιν. — 17. Ἀλκιβιάδης τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατος καὶ ὑβριστότατος καὶ βιαιότατος ἦν. — 18. Αἱ δρύες καὶ πάντα τὰ φυλλώδη δένδρα σκιοέστερα ἢ αἱ πίτυές εἰσιν. — 19. Τὰ τῆς Θεσσαλίας ὄρη, Ὄλυμπος, Πήλιον, Ὄσσα, Οθρυς νιφοέστατά ἐστιν. — 20. Οἱ μὲν τοῦ Λεωνίδου στρατιῶται εὐθαρσέστατοι, οἱ δὲ τοῦ Ξέρξου ἀγεννέστατοι. — 21. Κῦρος ὁ τοῦ Δαρείου τῶν εἰς τὸν πόλεμον ἔργων, τοξικῆς τε καὶ ἀκοντίσεως, φιλομαθέστατος καὶ μελετηρότατος ἦν. — 22. Ἀσπασία, ἡ τοῦ Περικλέους γυνή, χαριεστάτη τῶν ἐν Ἀθήναις ἦν. — 23. Τῆς πτήσεως οὐδέν ἐστι γλυκύτερον τοῖς ὄρνισιν. — 24. Μετὰ τὴν τῶν Μήδων ἐκ τῆς Εὐρώπης ἀναχώρησιν οἱ Λακεδαιμόνιοι τοῖς Ἀθηναίοις διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν προσφιλέστατοι ἦσαν, οὐ πολὺ δ' ὕστερον δυσμενέστεροι, ἐν δὲ τῷ Πελοποννησιακῷ πολέμῳ δυσμενέστατοι. —

4. Abweichende Compar. der Adject. auf ος u. s. w. mit εἰμί.

1. Νέος ὢν τῶν γεραιτέρων ὁμιλίαις σύνισθι· ἐννούστερος γὰρ ταῖς γνώμαις αὐτῶν ἔσει. — 2. Σωκράτει Ἀλκιβιάδης, καίπερ κουφονούστατος ὤν, εὐνούστερος ἦν ἢ τοῖς ἄλλοις φίλοις. — 3. Ἡ τοῦ Σωκράτους δίαιτα ἁπλουστάτη ἀεὶ ἦν, καίπερ αὐτῷ πολλῶν καὶ πλουσίων φίλων ὄντων. — 4. Ἡ τῶν Λακεδαιμονίων δίαιτα ἁπλουστέρα ἢ τῶν ἄλλων Ἑλλήνων ἦν. — 5. Ὦ παῖδες, εἰ σύνεστε ταῖς τῶν γεραιτέρων ὁμιλίαις, ἡσυχαίτατοι ἔστε. — 6. Ἄλλοι τόποι ἄλλοις ἔντιμοι· Πέρσαις μὲν ὁ μεσαίτατος, ὁ τοῦ βασιλέως, Ἕλλησι δὲ ὁ πρῶτος. — 7. Οἱ Ἀσσύριοι καὶ οἱ Ἰνδοὶ παλαίτατα ἔθνη τῆς Ἀσίας ἦσαν. — 8. Τῇ τοῦ Λυκούργου ἁπλουστέρᾳ διαίτῃ οἱ Σπαρτιατικοὶ νεανίαι ἐρρωμενέστεροι ἦσαν τῶν Ἀθηναίων. — 9. Αἱ μὲν χελιδόνες λαλίσταταί εἰσιν· τῶν δὲ ἀνθρώπων πολλοὶ λαλίστεροι ἢ οἱ χελιδόνες. — 10. Οἱ δοῦλοι πολλάκις ψευδίστατοι καὶ κλεπτίστατοί εἰσιν, οἱ δὲ στρατιῶται ἀρταγίστατοι καὶ πληκτίστατοι. — 11. Κελαιναί ποτε μεγίστη καὶ εὐδαιμονεστάτη πόλις τῆς Φρυγίας ἦν· ἐνταῦθα Κύρῳ τῷ δευτέρῳ βασίλεια καὶ παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης. — 12. Ἡ Περσέπολις, μητρόπολις οὖσα τῆς Περσῶν βασιλείας, πλουσιωτέρα καὶ πολυτελεστέρα καὶ εὐδαιμονεστέρα τῶν ἄλλων τῶν ὑπὸ τὸν ἥλιον πόλεων. — 13. Ἐν ταῖς ἀτυχίαις πολλάκις οἱ ἄνθρωποι σωφρονέστεροί εἰσιν ἢ ἐν ταῖς εὐτυχίαις· ὁ δὲ Σωκράτης καὶ ἐν εὐτυχίᾳ καὶ ἐν ἀτυχίᾳ ἐγκρατέστατος καὶ σωφρονέστατος ἦν. — 14. Οἱ ἀκροαταὶ εἶεν εὐγνωμονέστεροι τῷ ῥήτορι ἢ οἱ δικασταὶ τῷ Σωκράτει. —

5. Zweite Comparationsform (auf ίων und ιστος) mit εἰμί.

1. *Πολλοῖς μὲν ἡ κολακεία ἡδίων τῆς ἀληθείας· πᾶσι δὲ οἱ τῆς ἀληθείας καρποὶ ἡδίους εἰσὶ τῶν τῆς κολακείας.* — 2. *Ἡ τῶν ξυμμάχων διάστασις τοῖς μὲν πολεμίοις ἥδιστον, αὐτοῖς δὲ χαλεπώτατον.* — 3. *Τοῖς τῶν τελετῶν μετέχουσι περὶ τῆς τοῦ βίου τελευτῆς ἡδίους αἱ ἐλπίδες εἰσίν, ἢ τοῖς ἀμυήτοις.* — 4. *Οὐκ ἔστιν ἥδιον φάρμακον λύπης ἢ ἀνδρὸς φίλου παραίνεσις.* — 5. *Ἡ ἄγνοια πολλῶν κακῶν αἰτία· ὅταν δὲ ἢ περὶ τὰ μέγιστα, τότε κακουργοτάτη καὶ αἰσχίστη.* — 6. *Τὸ μὲν ἔργον ἐπίδειγμα τοῦ δημιουργοῦ· ὡς δὲ οἱ οἰκοδόμοι οὐ πάντες εἰσὶ δεινοί, τῶν μὲν αἱ οἰκίαι καλλίους, τῶν δὲ αἰσχίους.* — 7. *Ἔστιν ἔχθιστα τὰ ἐναντιώτατα, ψυχρὸν θερμῷ, πικρὸν γλυκεῖ, ξηρὸν ὑργῷ, πάντα τὰ τοιαῦτα.* — 8. *Ἔχθιστος καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμος.* — 9. *Ἀντιλόχου τοῦ Νέστορος οὐδεὶς τῶν Ἀχαιῶν νεώτερος, οὔτε ποσὶ θάσσων, οὔτ' ἀλκιμώτερος ἦν.* — 10. *Αἱ ἵπποι*) τοῦ Λαομέδοντος ἰρήκων θάσσονες ἦσαν.* — 11. *Οὐ μόνον ἀνδρειότατον καὶ ἰσχυρότατον εἶναι, μεγάλη ἦν δόξα παρὰ τοῖς Ἕλλησιν, ἀλλὰ καὶ τάχιστον.* — 12. *Ἀγησίλαος τὸν μὲν ἕτερον πόδα χῶλος ἦν, ταῖς δὲ πράξεσι καὶ ταῖς πορείαις καὶ στρατείαις τάχιστος.* —

6. Anomale Comparation mit εἰμί.

1. *Οὐκ ὁ μήκιστος βίος ἄριστός ἐστιν, ἀλλ' ὁ σπουδαιότατος.* — 2. *Ἀχιλλεὺς καὶ Ὀδυσσεὺς ἄριστοι ἦσαν Ἑλλήνων, ὁ μὲν ἀλκῇ, ὁ δὲ φρονήματι.* — 3. *Κάλλιστον ἡ δικαιοσύνη, λῷστον δ' ἡ ὑγιεία, ἥδιστον*

*) Die er vom Zeus für den Ganymedes erhalten hatte.

δ' ἡ κτῆσις τῶν αἱρετῶν. — 4. Δίκαιόν ἐστι, τὸν ἀμείνω τοῦ χείρονος ἄρχοντα εἶναι. — 5. Κατὰ τὸν Πλάτωνα πολὺ κρείττων ὁ τῆς ψυχῆς[1]) ἢ τοῦ σώματος ἔρως ἐστίν. — 6. Βέλτιόν ἐστιν ὀψιμαθῆ εἶναι ἢ ἀμαθῆ. — 7. Τῆς Σκυθικῆς χώρας ξύμπαντες τηλικοῦτοι ποταμοί εἰσιν, ὥστε οὐδεὶς αὐτῶν μείων ἐστὶ τοῦ Πηνειοῦ τοῦ Θεσσαλικοῦ ποταμοῦ· ὁ δὲ Πολυτίμητος πολὺ ἔτι μείζων ἢ κατὰ τὸν Πηνειὸν ποταμόν. — 8. Μαρμάρου ἐστὶ τῆς τε Ὑμηττίας καὶ τῆς Πεντελικῆς κάλλιστα μέταλλα πλησίον τῆς πόλεως τῶν Ἀθηναίων. — 9. Γνῶμαι τῶν γεραιτέρων ἀμείνους εἰσὶ τῶν νεωτέρων· ἀρίστων δ' ἀνδρῶν ἄριστα βουλεύματα. — 10. Μέγιστον ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν σώματι ἀνθρώπου. — 11. Τὸ παλαιὸν οὐχ ἧσσον τῶν ἠπειρωτῶν λῃσταὶ ἦσαν οἱ νησιῶται, Κᾶρές τε ὄντες καὶ Φοίνικες. — 12. Αἱ τῶν Ἑλλήνων ἐλάσσους πόλεις ὑπήκοοι ἦσαν ταῖς δυνατωτέραις, καὶ αἱ ἥσσους ταῖς κρείσσοσιν ὑποτελεῖς. — 13. Τῇ ἐν Φρυγίοις[2]) ἱππομαχίᾳ οἱ τῶν Ἀθηναίων καὶ Θεσσαλῶν ἱππεῖς οὐκ ἐλλάσσους ἦσαν τῶν Πελοποννησίων. — 14. Τῶν εἰς Ἴλιον στρατευσαμένων αἱ μὲν μέγισται ναῦς τῶν Βοιωτῶν, αἱ δὲ ἐλάχισται τοῦ Φιλοκτήτου ἦσαν. — 15. Τῇ κατὰ τὸν Συρακουσῶν λιμένα ναυμαχίᾳ αἱ πλεῖσται ναῦς ἐν ἐλαχίστῳ ἦσαν. — 16. Ἐν ταῖς μὲν τῷ ἰσημερινῷ κύκλῳ πλησιαιτάταις οὔσαις χώραις νύκτες καὶ ἡμέραι ἰσομήκεις εἰσὶ διὰ παντὸς τοῦ ἔτους· ἐν δὲ ταῖς ἄλλαις αἱ μὲν χειμεριναὶ νύκτες μήκισται, αἱ δὲ θεριναὶ βραχύταται. — 17. Οἱ ἐν τοῖς ὄρεσι βότρυες ἤδη πεπαίτεροί εἰσιν, ἢ οἱ ἐν τῷ πεδίῳ. — 18. Ἡ τῶν χρημάτων κτῆσις πλείστου ἀξία ἐστίν· οὐ δὲ παντὶ ἀνδρί, ἀλλὰ μόνῳ τῷ ἐπιεικεῖ πλοῦτος χρησιμώτατος. — 19. Ἡ τῶν Ἀθηναίων εἰς τὴν Σικελίαν ἀναγωγὴ τῶν κατὰ τὸν Πελοποννησιακὸν

1) Ueberſ. den Genit. durch „zu". — 2) Ort in Attika.

πόλεμον μεγίστη, καὶ τοῖς τε Ἀθηναίοις δυστυχεστάτη καὶ τοῖς ἐναντίοις λαμπροτάτη. — 20. Ἡ σοφία πάντων κάλλιστον, ἡ δὲ ἀμαθία πάντων αἴσχιστον. — 21. Δαίδαλος ἀρχιτέκτων κράτιστος ἦν καὶ πρῶτος ἀγαλμάτων εὑρέτης. — 22. Κολακεία τῶν ἄλλων κακῶν χείριστόν ἐστι τοῖς μὲν ἄλλοις ἀνθρώποις ἅπασι, μάλιστα δὲ τοῖς ἄρχουσιν. — 23. Οὐδεὶς ἦν ἐν τῷ τότε χρόνῳ τοῦ Πυριλάμπου καλλίων καὶ μείζων ἀνήρ. — 24. Οἱ Ἀθηναῖοι οὐδὲν*) πλήθει μὲν μείους ἦσαν τῶν Βοιωτῶν, φιλοτιμότεροι δὲ καὶ κρείττους, τὰ δὲ τῶν προγόνων τοῖς Ἀθηναίοις ἦν μείζω καὶ πλείω καὶ καλλίω. —

7. Comparation der Adj. auf ύς, ης, ας, εις mit dem Verbum purum.

1. Οἱ νεώτεροι παιδευέσθωσαν τῇ τῶν πρεσβυτέρων ἐμπειρίᾳ. — 2. Τῶν μὲν πρεσβυτέρων τῇ γνώμῃ καὶ σοφίᾳ, τῶν δὲ νεωτέρων ἀκμῇ καὶ ῥώμῃ ἡ πόλις ἄριστα πολιτεύεται. — 3. Κῦρος ἐκέλευσε τοὺς θωρακοφόρους προπορεύεσθαι, ὅτι τοῦτο βαρύτατον ἦν τοῦ στρατεύματος. — 4. Γλυκύτατον μέλι πέφυκεν ἐν Ὑμηττῷ τῷ τῆς Ἀττικῆς ὄρει. — 5. Εἰ οἱ πλουσιώτεροι καὶ οἱ εὐγενέστεροι ἰσχύσουσιν ἐν τῇ πόλει, τοῦ δήμου ἡ ἀρχὴ ἐν ὀλίγῳ χρόνῳ διαλυθήσεται. — 6. Μεθ' ἡμέραν μὲν ἐν ταῖς πορείαις προπορεύεται τοῦ στρατεύματος ὁποῖον ἂν πρὸς τὴν χώραν συμφορώτατον ᾖ, ἐάν τε ὁπλιτικόν, ἐάν τε ἱππικόν· νύκτωρ δὲ τὸ βραδύτατον προπορεύεσθαι, νόμος ἐστὶ τοῖς Ἕλλησιν. — 7. Σάτυρος, ὁ θρασύτατος καὶ ἀναιδέστατος τῶν ἕνδεκα, Κριτίου τοῦ τῶν τριάκοντα ἀκρατεστάτου καὶ βιαιοτάτου κελεύσαντος, Θηραμένην πολὺ ἐπιεικέστερον ὄντα ἐδέσμευσε καὶ ἐφόνευσεν. — 8. Ξάνθιππος ὁ πρεσβύτατος

*) Durchaus nicht.

τῶν τοῦ Περικλέους, φύσει δαπανηρὸς ὢν καὶ πάρθενον εὐειδεστάτην μνηστεύων, τὸν πατέρα τὰ χρέα διαλύειν ἐκέλευσεν. — 9. Παρὰ τοῖς Βυζαντίοις οἱ Καίσαρες καὶ τῶν Καισάρων παῖδες ἐπιφανέστατοι προσηγορεύοντο. — 10. Μετὰ τοῦ Καμβύσου θάνατον τῶν Περσῶν ἐβασίλευε Ψευδόσμερδις ὁ Μάγος· τῶν δὲ ἐπιφανεστάτων καὶ εὐγενεστάτων Περσῶν τινες βουλευσάμενοι τὸν Ψευδόσμερδιν φονεύσαντας τὴν τῶν Μάγων ἀρχὴν κατέλυσαν. — 11. Οἱ κόρακες μελάντατοί εἰσιν, ὥστε κατὰ τὴν παροιμίαν „κόρακας λευκοὺς θηρεῦσαι" σημεῖόν ἐστι τῶν ἀδυνάτων. — 12. Οὐδαμοῦ τιμητέστεροι ἦσαν οἱ γέροντες ἢ ἐν Σπάρτῃ· καὶ γὰρ μόνον τοῖς ἑξηκονταέτεσιν ἐξῆν περὶ τῆς πόλεως βουλεύεσθαι. —

8. Abweichende Comparation der Adject. auf ος mit dem Verbum purum.

1. Μίνως παλαίτατος ὢν [1]) ἀκούομεν τὸ ναυτικὸν ἐξήρτυε· τῶν γὰρ Ἑλλήνων ναυκρατέστατος ἦν πρὸ τῶν Τρωϊκῶν. — 2. Οἱ Ἰνδοὶ τοῖς βασιλεῦσι τοῖς νεκροῖς τοὺς εὐνουστάτους συνέκαιον. — 3. Τῷ Προξένῳ οἱ μὲν καλοί τε κἀγαθοὶ τῶν συνόντων εὐνούστατοι ἦσαν, οἱ δ' ἄλλοι ἐπεβούλευον ὡς εὐμεταχειρίστῳ ὄντι. — 4. Μένων ὁ Θετταλὸς ἐπεβούλευε τοῖς ἁπλουστάτοις καὶ ἀληθεστάτοις ὡς τὸ αὐτὸ [2]) ἠλιθίοις οἰσιν. — 5. Ἀλέξανδρος ἐπεβούλευσε τοῖς Δαρείου φονεῦσι μετὰ τῶν ἱππέων μόνων, ὅτι ἡ πορεία τῶν πεζῶν αὐτῷ σχολαιτέρα ἦν. — 6. Οἱ τριάκοντα ἐστράτευσαν ἐν εὐδιαιτάτῃ ἡμέρᾳ ἐπὶ τὸν Θρασύβουλον, ὃς ἐκυρίευσε Φυλῆς, χωρίου ἰσχυροῦ· τῆς δὲ νυκτὸς φύεται χιὼν παμπληθής, πᾶσι τέρας. — 7. Ἄνεμος καὶ χειμὼν μέγας διεκώλυσε τὸν Ὀδυσσέα πολὺν χρόνον ἐκ Κρήτης στρατευσόμενον·

---

1) = τούτων, ὧν. — 2) eo ipso = eben deshalb.

ἐπεὶ δὲ ὁ ἄνεμος εὐδιαίτερος ἦν, κατέλυσεν εἰς Ἴλιον. — 8 Τῶν στρατηγῶν ὑπὸ βασιλέως φονευθέντων, τῇ μὲν πρώτῃ ἡμέρᾳ οἱ Ἕλληνες θᾶσσον ἐπορεύθησαν, τῇ δ' ἄλλῃ πρωϊαίτεροι ἐκ τοῦ σταθμοῦ ἐξεστρατεύοντο. — 9. Ἐρρωμενέστεροι ἂν εἶεν οἱ ἐκ τείχους τὴν πάροδον κωλύοντες ἢ οἱ ἐπὶ μακρὸν [1]) πορευόμενοι. — 10. Δαρείου καὶ Παρυσάτιδος παῖδες ἦσαν δύο, πρεσβύτερος μὲν Ἀρταξέρξης, ὁ μετὰ τὸν τοῦ πατρὸς θάνατον Περσῶν βασιλεύων, νεώτερος δὲ Κῦρος, ὃς τῇ μητρὶ ἦν φίλτερος ἢ ὁ πρεσβύτερος. — 11. Ἦσαν τῶν Ἑλλήνων πολλοί, οἳ ὑπὸ τῶν πολιτῶν ἐφυγαδεύθησαν, παρὰ Κύρῳ τῷ δευτέρῳ· φιλαίτατος δ' αὐτῷ ἦν Κλέαρχος ὁ Λακεδαιμόνιος. — 12. Καῖσαρ, ὑπὸ τῶν συνωμοτῶν φονευόμενος, τὸν Βροῦτον προσηγόρευσε· Καὶ σύ, ὦ φίλτατε Βροῦτε; —.

9. Comparation der Adjectiva auf ων, ις, ξ, und die Formen auf ίων und ιστος mit dem Verb. pur.

1. Ἀλέξανδρος μάλιστα ἐθεράπευσε Κῶρον Ἰνδῶν βασιλέα σωφρονέστατον καὶ ἐπιφανέστατον ὄντα. — 2. Ὑπὸ Πλουτάρχου Ἀλέξανδρος προσαγορεύεται σωφρονέστερος μὲν Ἀγαμέμνονος, μεγαλοψυχότερος δὲ Ἀχιλλέως, εὐσεβέστερος δὲ Διομήδους, ποθεινότερος δὲ τοῖς προσήκουσιν Ὀδυσσέως. — 3. Χρέμυλός τις δοῦλον Κάριον πιστότατον ἅμα καὶ κλεπτιστότατον ἀνηγόρευσεν· ἦν γὰρ τῷ μέν δεσπότῃ εὐνούστατος, τοῖς δὲ ἄλλοις πανουργότατος. — 4. Τοῖς μὲν ἀσθενέσιν ἀνθρώποις ἥδιον τὸ κολακεύειν, τοῖς δὲ δεινοῖς τὸ ἀληθεύειν. — 5. Ἡ τοῦ Νικίου ἐκ Σικελίας ἐπιστολὴ [2])

---

1) In einem langen (lang gedehnten) Zuge. — 2) In welchem er ihnen den schlechten Ausgang der ersten Expedition bekannt machte und neue Verstärkungen verlangte.

οὐκ ἦν ἡδεῖα τοῖς Ἀθηναίοις τοῖς τὰ ἥδιστα ἀκούειν φύσει προθύμοις οὖσιν. — 6. Ὁ βαθύτατος ὕπνος ἥδιστός ἐστι καὶ ὁμοιότατος τῷ θανάτῳ, ὥστε ὁ ποιητὴς [1]) τὸν ὕπνον προσαγορεύει κασίγνητον τοῦ θανάτου. — 7. Τί ἂν γυναικὶ ἥδιον εἴη τοῦ θεραπεῦσαι ἄνδρα φίλον, μεγάλην στρατείαν ἐστρατευμένον; — 8. Τίς ποτε ἐκέλευσε τὸν ἔχθιστον τῶν οἰκείων ἐπιτροπεύειν τοὺς παῖδας, ὀρφανοὺς ὄντας; — 9. Ἀλέξανδρος ἀκούσας, βασιλέα Ταρσῷ τῆς Κιλικίας ἐπιβουλεῦσαι, ὡς πυρὶ καταλύσοντα, τὴν ταχίστην [2]) ἐπορεύθη διὰ τοῦ Ταύρου. — 10. Τῶν εἰς Ἴλιον στρατευσαμένων αἴσχιστος ἦν Θερσίτης· φολκὸς γὰρ ἦν καὶ χωλὸς τὸν ἕτερον πόδα· τὼ δὲ ὦμω αὐτοῦ κυρτώ, τὴν δὲ κεφαλὴν φοξός· ἔχθιστος δ' Ἀχιλλεῖ καὶ Ὀδυσσεῖ. — 11. Ἡ ἀμαθία πάντων αἴσχιστον, τοῖς τε παιδεύουσι καὶ τοῖς συμβουλεύουσι καὶ τοῖς πολιτευσαμένοις. — 12. Προμηθεὺς πλησίον τῶν Κασπίων πυλῶν ἐπὶ τοῦ Καυκάσου ἐδεδέσμευτο, οἴκτιστον θέαμα πᾶσιν ἀνθρώποις· ὕστερον δ' ἀπελύθη ὑπὸ τοῦ Ἡρακλέους. —

10) Anomale Comparation mit dem Verbum purum.

1. Δεινόν ἐστι, τοὺς βελτίους δουλεύειν τοῖς χείροσιν. — 2. Ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις· τῶν τε βελτίστων καὶ τῶν χειρίστων βίον ἀναπαύει. — 3. Τισσαφέρνης, βασιλέως σατράπης, Ταμὼν τὸν ὕπαρχον θεραπεῦσαι τὴν στρατιὰν ἐκέλευσεν, ἐν ὅσῳ [3]) ἂν αὐτὸς ἀπῇ· τότε δὲ οὐ βελτίων, ἀλλὰ χείρων ἦν τῆς προτέρας ἡ τροφή. — 4. Ἡ τελευταία [4]) χάρις, καιρία οὖσα, κἂν ἐλάσσων ᾖ, ἰσχύει

---

1) Homer. 2) Ergänze ὁδόν und übers. „aufs schnellste" eig. „den schnellsten Weg". 3) in welcher Zeit d. h. so lange. 2) zuletzt erwiesene.

μεῖζον ἔγκλημα λῦσαι. — 5. Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα τοῖς πολίταις. — 6. Τὸ μὲν εἰκῆ κελεύειν ῥᾷστον, τὸ δὲ καλῶς καὶ δικαίως κελεύειν χαλεπώτατον. — 7. Οὐδεὶς νόμος ἰσχύει μεῖζον ἀνάγκης. — 8. Ἐμπεφύτευται τοῖς ἀνθρώποις ἡ τοῦ πλείονος ἐπιθυμία· ὁ δ' ὀλιγάρκης πλουσιώτατος. — 9. Οἱ τελματώδεις τόποι οὐ μόνον φαῦλον τὸν ἀέρα φύουσιν, ἀλλὰ καὶ τοὺς καρποὺς κακίους. — 10. Πέφυκεν ὁ Κῦρος καὶ διαμνημονεύεται ἔτι καὶ ὕστερον ὑπὸ τῶν βαρβάρων εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος καὶ φιλομαθέστατος καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ὑποδύσασθαι, πάντα δὲ κίνδυνον κινδυνεῦσαι τοῦ ἐπαίνου ἕνεκα. — 11. Πάντες οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις ἐπαιδεύοντο σὺν τοῖς βασιλέως παισίν. — 12. Εὐκλείδης ὁ Μεγαρεὺς μηκίστην ὁδὸν ἐπορεύετο ἀκουσόμενος τοὺς τοῦ Σωκράτους λόγους. —

VII. Zahlwörter.

I.

1. Οὐκ ἀγαθὸν πολυκοιρανία· εἷς κοίρανος ἔστω, εἷς βασιλεύς. — 2. Κριτίας, εἷς τῶν τριάκοντα [1]) τῷ μὲν πρώτῳ χρόνῳ Θηραμένει, καὶ αὐτῷ [2]) ἐνὶ τῶν τριάκοντα, ὁμογνώμων τε καὶ φίλος ἦν, ὕστερον δὲ ἔχθιστός τε καὶ αἴτιος τοῦ θανάτου. — 3. Πολλαὶ μὲν αἰτίαι τῶν τοῦ ἀνθρώπου νόσων· μία δὲ τῶν μεγίστων ἡ τῶν σιτίων ἀνομοιότης. — 4. Τρεῖς ἦσαν ποιήτριαι Ἑλληνικαὶ ἐπιφανέσταται Σαπφώ, Ἤριννα, Κόριννα. — 5. Ὀλυμπιὰς χρόνος ἐστὶ τεσσάρων ἐτῶν ἢ πεντή-

---

1) der sogenannten dreißig Tyrannen. 2) ebenfalls.

κοντα μηνῶν Ἑλληνικῶν. — 6. Καλὸν τὸ τοῦ Διογένους ῥῆμα, φίλον εἶναι μίαν ψυχὴν ἐν δυοῖν σωμάτοιν. — 7. Μαιάνδρου τοῦ ποταμοῦ τὸ εὖρος δύο πλέθρα ἢ διακοσίων ποδῶν· πλησίον δὲ τοῦ Μαιάνδρου Μαρσύας ποταμὸς τὸ εὖρος εἴκοσι καὶ πέντε ποδῶν. — 8. Ἐνιαυτὸς χρόνος ἐστὶ δώδεκα μηνῶν ἢ πεντήκοντα καὶ δυοῖν ἑβδομάδων ἢ τριακοσίων ἑξήκοντα πέντε ἡμερῶν. — 9. Τῷ ἀνθρώπῳ ἐστὸν δύο ὦτε, δύο χεῖρε, δύο πόδε, μία ῥίς, ἓν στόμα. — 10. Τρισὶν ἢ τέσσαρσι γενεαῖς πρεσβυτέρα ἦν ἡ Αἰολικὴ εἰς Ἀσίαν ἀποικία τῆς Ἰωνικῆς· ἡ δὲ Δωρικὴ δυοῖν ἢ τρισὶ γενεαῖς ὑστέρα τῆς Ἰωνικῆς. — 11. Ἡ Ζέλεια πόλις ἐν τῇ παρωρείᾳ τῇ ὑστάτῃ τῆς Ἴδης ἦν, ἀποῦσα Κυζίκου μὲν σταδίους ἐνενήκοντα καὶ ἑκατόν· τῆς δ' ἐγγυτάτω θαλάττης ὅσον ὀγδοήκοντα. — 12. Δώδεκα ἦσαν θεοὶ Ὀλύμπιοι, ἓξ μὲν θεαί, Ἥρα, Ἀθηνᾶ, Ἄρτεμις, Ἀφροδίτη, Δημήτηρ, Ἑστία, ἓξ δὲ θεοί, Ζεύς, Ποσειδῶν, Ἀπόλλων, Ἄρης, Ἑρμῆς, Ἥφαιστος. — 13. Ὧραι ἦσαν δύο ἢ τρεῖς, τρεῖς δὲ καὶ Χάριτες, Ἑσπερίδες δὲ τέσσαρες ἢ ἑπτά, Μοῦσαι δ' ἐννέα. — 14. Οἱ ἕνδεκα, ἀρχή τις παρὰ τοῖς Ἀθηναίοις, ἐπισταταὶ τῶν δεσμωτηρίων καὶ φύλακες τῶν τοῦ θανάτου καταδίκων ἦσαν. — 15. Ὁ Πειραιεὺς ἀπῆν τετταράκοντα στάδια τοῦ ἄστεος. ἦν δὲ αὐτόθι ναύσταθμον τετρακοσίαις ναυσίν. — 16. Τοῦ Κύρου στρατεύματος ἦν ἀριθμὸς τῶν μὲν Ἑλλήνων ὁπλῖται μύριοι καὶ τετρακόσιοι, πελτασταὶ δὲ δισχίλιοι καὶ πεντακόσιοι· τῶν δὲ μετὰ Κύρου βαρβάρων δέκα μυριάδες καὶ ἅρματα δρεπανηφόρα ἀμφὶ τὰ εἴκοσιν. —

17. Δύο μὲν κατ' ἐνιαυτὸν ἦτην ὕπατοι παρὰ τοῖς Ῥωμαίοις, πρῶτοι δὲ Βροῦτος καὶ Κολλατῖνος, μετὰ τὴν τῶν βασιλέων φυγήν. — 18. Ὁ μὲν δεύτερος ἐπὶ τοὺς Καρχηδονίους πόλεμος πάντων δεινότατος καὶ ἐπικινδυνότατος ἦν τοῖς Ῥωμαίοις, ὁ δὲ τρίτος Καρχηδο-

νιακὸς τοῖς Καρχηδονίοις δυστυχέστατος. — 19. Ἀντωνίνῳ τῷ φιλοσόφῳ, τῷ ἑκκαιδεκάτῳ τῶν παρὰ τοῖς Ῥωμαίοις βασιλέων, θυγατέρες μὲν ἦσαν πλείους, ἄρρενες δὲ δύο, ὧν ὁ ἕτερος, Κόμμοδος τὸ ὄνομα, ἑπτακαιδέκατος βασιλεύς, τῷ πατρὶ ἀνομοιότατος ἦν. — 20. Ἡ ἐν ταῖς Θερμοπύλαις μάχη ἦν ἐν τῷ ὀγδοηκοστῷ καὶ τετρακοσιοστῷ ἔτει πρὸ τῆς τοῦ Ἰησοῦ Χριστοῦ γενέσεως, ἢ ἐν τῷ τετάρτῳ ἔτει τῆς τετάρτης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος. — 21. Φειδιππίδης, εἷς τῶν ἡμεροδρόμων, δευτεραῖος ἐκ τοῦ τῶν Ἀθηναίων ἄστεος ἦν ἐν Σπάρτῃ. — 22. Ἡ τοῦ Πλάτωνος γένεσις ἦν ἐν τῷ τρίτῳ ἔτει τῆς ἑβδόμης καὶ ὀγδοηκοστῆς Ὀλυμπιάδος, τῇ ἑβδόμῃ τοῦ Θαργελιῶνος ἡμέρᾳ· ὁ δὲ Θαργελιὼν παρὰ τοῖς Ἀθηναίοις μήν ἐστιν ἑνδέκατος. — 23. Ἡ μὲν τῶν θηρίων ὠφέλεια πολλαπλασία ἐστὶ τοῖς ἀνθρώποις, ἡ δὲ βλάβη πολὺ μείων· ὁ τοῦ σίτου καρπὸς πολλάκις δεκαπλάσιος, καὶ πεντεκαιδεκαπλάσιος καὶ εἰκοσαπλάσιος. — 24. Ὁ μὲν χιλίαρχος ἄρχων ἐστὶ χιλιάδος, ὁ δὲ στρατηγὸς δυοῖν ἢ τριῶν ἢ πλειόνων μυριάδων· ἡ Δαρείου τοῦ Ὑστάσπου εἰς τοὺς Σκύθας στρατιὰ ἑβδομήκοντα μυριάδων ἦν. —

II.

1. Οἱ μὲν Ἀθηναῖοι κατ' ἐνιαυτὸν ἐννέα ἄρχοντας, οἱ δὲ Ῥωμαῖοι δύο ὑπάτους ἀνηγόρευον. — 2. Κῦρος μέχρι δώδεκα ἐτῶν ἢ ὀλίγῳ πλεῖον τῇ τῶν Περσῶν παιδείᾳ ἐπαιδεύθη· ἔπειτα δὲ πρὸς Ἀστυάγην τὸν πάππον ἐπορεύθη. — 3. Πάντων ἠρίστευσεν οὕτω τῇ δικαιοσύνῃ ὁ Ἀριστείδης, ὥστε οἱ Ἀθηναῖοι αὐτὸν πρῶτον τῶν πολιτῶν καὶ εἰς ἐκεῖνον τὸν χρόνον ἕνα προσηγόρευσαν τὸν Χρηστόν. — 4. Ἐπαύσατο τοῦ βίου Ἀλέξανδρος τῇ τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ Ὀλυμπιάδι, ἐπὶ Ἡγησίου ἄρχοντος, βιοτεύσας μὲν δύο καὶ τριάκοντα ἔτη καὶ ὀκτὼ μῆνας, βασιλεύσας δὲ δώδεκα

ἔτη καὶ ὀκτὼ μῆνας. — 5. Καρχηδὼν καὶ Κόρινθος, δύο πόλεις λαμπρόταται, κατελύθησαν ὑπὸ τῶν Ῥωμαίων τῷ αὐτῷ ἔτει, τῷ ἕκτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ πρὸ τῆς τοῦ Ἰησοῦ Χριστοῦ γενέσεως· τῇ δὲ τῆς Καρχηδόνος καταλύσει ἐπαύθη ὁ τρίτος εἰς τοὺς Καρχηδονίους πόλεμος, τῶν τριῶν Καρχηδονιακῶν ὁ ὀλεθριώτατος. — 6. Οἱ Περσῶν παῖδες ἀπὸ πέντε ἐτῶν μέχρι τεττάρων καὶ εἴκοσιν ἐπαιδεύοντο τοξεύειν καὶ ἱππεύειν καὶ ἀληθεύειν. — 7. Τῷ δεκάτῳ ἔτει οἱ Ἀχαιοὶ τὴν Ἴλιον κατέλυσαν καὶ τὸν ὑπὲρ τῆς Ἑλένης πόλεμον κατέπαυσαν. — 8. Ἅννων ὁ πρεσβύτερος ἐκ τῆς Λιβύης ἐστρατεύσατο εἰς τὴν Σικελίαν σὺν μεγάλῃ δυνάμει, πεζῶν μυριάσι πέντε, ἱππεῦσι δὲ ἑξακισχιλίοις, ἐλέφασι δὲ ἑξήκοντα.— 9. Σαρδανάπαλος, τριακοστὸς ὢν ἀπὸ Νινύου, ἐφονεύθη ὑπ' Ἀρβάκου καὶ Βελέσυος, ἡ δὲ τῶν Ἀσσυρίων ἀρχὴ κατελύθη τῷ ὀγδόῳ καὶ ὀγδοηκοστῷ καὶ ὀκτακοσιοστῷ πρὸ τῆς τοῦ Ἰησοῦ Χριστοῦ γενέσεως. — 10. Ἀριθμὸς συμπάσης τῆς ὁδοῦ, ἣν Ξενοφῶν μετὰ τοῦ Κύρου ἀνεπορεύθη καὶ μετὰ τὸν θάνατον αὐτοῦ διήνυσεν, ἦσαν σταθμοὶ διακόσιοι δέκα πέντε, παρασάγγαι χίλιοι ἑκατὸν πεντήκοντα πέντε, στάδια τριςμύρια τετρακισχίλια ἑξακόσια πεντήκοντα· χρόνου πλῆθος τῆς ἀναβάσεως καὶ καταβάσεως ἐνιαυτὸς καὶ τρεῖς μῆνες. — 11. Οἱ δὲ σταθμοὶ ὡς ἐπὶ τὸ πολὺ [1]) ἀπῆσαν ἀλλήλων πέντε παρασάγγας· ὁ δὲ παρασάγγης ἰσχύει τριάκοντα στάδια, τρία μέρη [2]) μιλίου Γερμανικοῦ· τὸ γὰρ στάδιον τεσσαρακοστὸν μέρος ἐστὶ μιλίου Γερμανικοῦ, καὶ ἰσχύει ἑξακοσίους πόδας Ῥηνικούς. — 12. Οἱ πολέμιοι ἐπορεύθησαν εἰκοσταῖοι καὶ ἀνεπαύσαντο ἑπτάκις ἐν τῇ πορείᾳ. —

13. Τῷ Ἀλεξάνδρῳ, εἰς τὴν τῶν Ἰνδῶν χώραν στρατεύσαντι, ἀντεστρατεύσαντο πολλοὶ καὶ ἀλκιμώτα-

1) gewöhnlich. 2) drei Viertel.

τοι, ὡς Ἀσσακηνοὶ σὺν ἱππεῦσι δισχιλίοις, πεζοῖς δὲ τρισμυρίοις, τριάκοντα δὲ ἐλέφασιν. — 14. Ἐς τρίτην ἀπὸ τοῦ θανάτου τοῦ Ἡφαιστίωνος ἡμέραν οὔτε σίτου ἐγεύσατο Ἀλέξανδρος, οὔτε τινὰ θεραπείαν ἄλλην ἐθεράπευσε τὸ σῶμα· καὶ πυρὰν ἐκέλευσεν αὐτῷ ἱδρύεσθαι ἀπὸ ταλάντων μυρίων. — 15. Μετὰ τὸν θάνατον τοῦ Αὐγούστου, βασιλεύσαντος ἔτη πέντε καὶ τεσσαράκοντα, Τιβήριος ἐβασίλευσεν ἔτη τέσσαρα καὶ εἴκοσιν. — 16. Μιλτιάδης σὺν ἐννακισχιλίοις Ἀθηναίοις καὶ χιλίοις Πλαταιεῦσιν ἀντεστράτευσε τῇ τῶν Περσῶν δυνάμει δεκαπλασίᾳ ἢ μείζονι ἔτι οὔσῃ. — 17. Διπλᾶ ἀγαθά ἐστι· τὰ μὲν ἀνθρώπινα, τὰ δὲ θεῖα· τὰ δὲ ἀνθρώπινά ἐστιν ἐκ τῶν θείων· καὶ ἐὰν μὲν θεραπεύῃ τις τὰ μείζονα, ἔσται αὐτῷ καὶ τὰ ἐλάττονα· εἰ δὲ μή, διαλυθήσεται ἄμφω. Ἔστι δὲ τὰ μὲν ἐλάττονα, ὧν πρῶτον μὲν ὑγίεια· κάλλος δὲ δεύτερον· τὸ δὲ τρίτον ἰσχύς, εἴς τε δρόμον καὶ εἰς τὰς ἄλλας κινήσεις τῷ σώματι· τέταρτον δὲ δὴ πλοῦτος, οὐ τυφλός, ἀλλὰ πειθόμενος τῇ φρονήσει. Ὃ δὴ πρῶτον αὖ τῶν θείων ἀριστεῦόν ἐστιν ἀγαθόν, ἡ φρόνησις· δεύτερον δὲ μετὰ νοῦν σώφρων ψυχῆς ἕξις· ἐκ δὲ τούτων τρίτον ἂν εἴη δικαιοσύνη, τέταρτον δὲ ἀνδρεία. — 18. Οἱ Ἕλληνες ἐκ Τραπεζοῦντος πεντήκοντα καὶ τετρακόσια στάδια πορευόμενοι εἰς Κερασοῦντα τριταῖοι ἦκον, πόλιν Ἑλληνίδα ἐπὶ θαλάττῃ, Σινωπέων ἄποικον, ἐν τῇ Κολχίδι χώρᾳ. — 19. Κάμιλλος κτίστης τῆς Ῥώμης προσαγορευθεὶς δεύτερος, δικτάτωρ πεντάκις ἀναγορευθείς, θριαμβεύσας δὲ τετράκις, οὐδὲ ἅπαξ ὑπάτευσεν. — 20. Ἡ ἀξία τῶν οἰκετῶν παρὰ τοῖς παλαιοῖς διάφορος ἦν· ὁ μὲν γάρ που δύο μνῶν ἄξιος ἦν, ὁ δ' οὐδ' ἡμιμναίου, ὁ δὲ πέντε μνῶν, ὁ δὲ καὶ δέκα. — 21. Κροῖσος, ὁ τῶν Λυδῶν βασιλεύς, τῷ Δελφικῷ θεῷ ἀνάριθμα χρήματα ἔθυσεν, ὡς κτήνη τρισχίλια τὰ θύσιμα πάντα καὶ ἑπτὰ καὶ δέκα καὶ ἑκατὸν ἡμιπλίνθια, ἐπὶ

μὲν τὰ μακρότερα, ἑξαπάλαιστα, ἐπὶ δὲ τὰ βραχύτερα τριπάλαιστα, ὕψος [1]) δὲ παλαιστιαῖα· καὶ τούτων, ἀπέφθου χρυσοῦ τέσσαρα, τρίτον ἡμιτάλαντον [2]) ἕκαστον ἕλκοντα· τὰ δὲ ἄλλα ἡμιπλίνθια, λευκοῦ χρυσοῦ, σταθμὸν [3]) διτάλαντα. — 22. Πρὸς δὲ ταῦτα ἔθυσε λέοντος εἰκόνα, χρυσοῦ ἀπέφθου ἕλκουσαν σταθμὸν [3]) τάλαντα δέκα· οὗτος δὲ ὁ λέων, ἐπεὶ κατεκαίετο ὁ ἐν Δελφοῖς νεώς, ἀπεκρούθη ἀπὸ τῶν ἡμιπλινθίων, ἐν οἷς ἵδρυτο, καὶ νῦν ἐστιν ἐν τῷ Κορινθίων θησαυρῷ, ἕλκων σταθμὸν ἕβδομον ἡμιτάλαντον· ἀπελύθη γὰρ τῷ πυρὶ αὐτοῦ τέταρτον ἡμιτάλαντον. —

Anhang.

1. Die Monate der Athener.

Τῶν μὲν δώδεκα παρὰ τοῖς Ἀθηναίοις μηνῶν πρῶτος μὲν ἦν Ἑκατομβαιών, προσήκων τῷ τῶν ἡμετέρων μηνῶν ἑβδόμῳ, δεύτερος δὲ Μεταγειτνιών, τρίτος δὲ Βοηδρομιών, τέταρτος δὲ Πυανεψιών, πέμπτος δὲ Μαιμακτηριών, ἕκτος δὲ Ποσειδεών, ἕβδομος δὲ Γαμηλιών, προσήκων τῶν ἡμετέρων τῷ πρώτῳ, ὄγδοος δὲ Ἀνθεστηριών, ἔννατος δὲ Ἐλαφηβολιών, δέκατος δὲ Μουνυχιών, ἑνδέκατος δὲ Θαργηλιών, δώδεκατος δὲ Σκιροφοριών. —

2. Regierungszeit der römischen Könige.

Οἱ ἑπτὰ βασιλεῖς τῶν Ῥωμαίων ἔτη τέσσαρα καὶ τεσσαράκοντα καὶ διακόσια ἐβασίλευσαν. Ὁ μὲν γὰρ πρῶτος, Ῥωμύλος, ἑπτὰ καὶ τριάκοντα, ὁ δὲ δεύτερος, Νουμᾶς Πομπίλιος, τῷ δευτέρῳ ἔτει μετὰ τὸν Ῥωμύ-

---

1) „An Höhe, hoch". 2) Vgl. Gramm. §. 30. 2. 3) Accus. des Gewichtes oder Maaßes: übers. „an Gewicht".

λου θάνατον βασιλεὺς ἀναγορευθείς, τρία καὶ τεσσαράκοντα, ὁ δὲ τρίτος, πάντων πολεμικώτατος, Τύλλος Ὁστίλλιος, ὃς Ἄλβαν, τὴν τῶν Λατίνων πόλιν, κατέλυσε, δύο καὶ τριάκοντα, ὁ δὲ τέταρτος, Ἄγκος Μάρκιος, ὃς κατέπαυσε τὴν τῶν Λατίνων δύναμιν καὶ καθίδρυσεν Ὄστιαν, τέσσαρα καὶ εἴκοσιν· ὁ δὲ πέμπτος, Ταρκύνιος Πρίσκος, δι' Ἑλλήνων πεφυκώς, ὀκτὼ καὶ τριάκοντα· ὁ δὲ ἕκτος, Σερούϊος Τούλλιος, ὃς σοφώτατα ἐπολιτεύσατο τὴν πόλιν, τέσσαρα καὶ τεσσαράκοντα, ὁ δὲ ἕβδομος καὶ ἔσχατος, Ταρκύνιος Σούπερβος, ἐφυγαδεύθη τῷ τῆς βασιλείας πέμπτῳ καὶ εἰκοστῷ ἔτει, τῷ πρὸ τῆς Ἰησοῦ Χριστοῦ γενέσεως δεκάτῳ καὶ πεντακοσιοστῷ ἔτει.

3. Die Kinder der Niobe.

Οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων οὐ σύμφωνοί εἰσιν ἀλλήλοις. Ἦσαν δέ, εἰ τοῖς τοῦ Ὁμήρου λόγοις πιστεύομεν, ἓξ παῖδες καὶ τοσαῦται κόραι. εἰ δὲ τῷ Λάσῳ, δὶς ἑπτά· εἰ δὲ Ἡσιόδῳ ἐννέα καὶ δέκα· Ἀλκμὰν δέκα μνημονεύει, Μίμνερμος εἴκοσι, καὶ Πίνδαρος τοσούτους· οἱ δὲ πλεῖστοι ἑπτὰ παῖδας καὶ τοσαύτας κόρας.

4. Altgewordene Könige*).

Πομπίλιος Νουμᾶς, ὁ εὐδαιμονέστατος τῶν Ῥωμαίων βασιλέων καὶ μάλιστα περὶ τὴν θεραπείαν τῶν θεῶν σπουδάζων, ὑπὲρ ὀγδοήκοντα ἔτη βεβιωκέναι ἱστορεῖται. Σέρβιος δὲ Τούλλιος, Ῥωμαίων καὶ οὗτος βασιλεύς, ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη καὶ αὐτὸς βιώσας ἱστο-

*) Dieses Stück, sowie 5 u. 6, möchte für eine spätere Wiederholung der Zahlwörter geeignet sein.

ρεῖται. Ταρκύνιος δέ, ὁ τελευταῖος Ῥωμαίων βασιλεὺς φυγαδευθεὶς καὶ ἐπὶ Κύμης διαιρίβων, ὑπὲρ τὰ ἐνενήκοντα ἔτη λέγεται βιῶναι. Τούτοις οὖν, Ῥωμαίων βασιλεῦσι, συνάψω καὶ τοὺς λοιποὺς βασιλέας, τοὺς εἰς μακρὸν γῆρας ἀφικομένους [1]), καὶ τὰ ἐπιτηδεύματα ἑκάστου. Ἀργανθώνιος μὲν οὖν Ταρτησσίων βασιλεὺς πεντήκοντα καὶ ἑκατὸν βιῶναι λέγεται, ὡς Ἡρόδοτος ὁ λογοποιὸς καὶ ὁ μελοποιὸς Ἀνακρέων ἱστοροῦσιν· ἀλλὰ τοῦτο μὲν μῦθός τισι δοκεῖ. Ἀγαθοκλῆς δὲ ὁ Σικελίας τύραννος ἐτῶν [2]) ἐνενήκοντα πέντε τελευτᾷ· Ἱερὼν δὲ ὁ Συρακουσίων τύραννος δυοῖν καὶ ἐνενήκοντα ἐτῶν. Ἀντέας δὲ Σκυθῶν βασιλεὺς μαχόμενος πρὸς Φίλιππον περὶ τὸν Ἴστρον ποταμὸν ἔπεσεν [3]), ὑπὲρ τὰ ἐνενήκοντα ἔτη γεγονώς. Βάρδυλις δὲ ὁ Ἰλλυρίων βασιλεὺς ἀφ' ἵππου λέγεται μάχεσθαι ἐν τῷ πρὸς Φίλιππον πολέμῳ, εἰς ἐνενήκοντα τελῶν ἔτη. Τήρης δὲ Ὀδρυσῶν βασιλεὺς δύο καὶ ἐνενήκοντα ἐτῶν ἐτελεύτησεν. Ἀντίγονος δὲ ὁ Φιλίππου ὁ μονόφθαλμος, βασιλεύων Μακεδόνων, περὶ Φρυγίαν μαχόμενος Σελεύκῳ καὶ Λυσιμάχῳ τραύμασι πολλοῖς περιπεσὼν ἐτελεύτησεν ἐτῶν ἑνὸς καὶ ὀγδοήκοντα. Καὶ Λυσίμαχος δὲ Μακεδόνων βασιλεὺς ἐν τῇ πρὸς Σέλευκον ἀπώλετο [4]) μάχῃ, ἔτος ὀγδοηκοστὸν τελῶν. Ἀντίγονος δέ, υἱὸς Δημητρίου, υἱωνὸς δὲ Ἀντιγόνου τοῦ μονοφθάλμου, τέσσαρα καὶ τεσσαράκοντα Μακεδόνων ἐβασίλευσεν ἔτη, ἐβίωσε δὲ ὀγδοήκοντα. Ὁμοίως δὲ καὶ Ἀντίπατρος ὁ Ἰολάου, μέγιστον δυνηθεὶς καὶ ἐπιτροπεύσας πολλοὺς Μακεδόνων βασιλέας, ὀγδοηκοστὸν ἔτος τελῶν ἐτελεύτα τὸν βίον. Πτολεμαῖος δὲ ὁ Λάγου, ὁ τῶν καθ' ἑαυτὸν εὐδαιμονέστατος βασιλέων, Αἰγύπτου μὲν ἐβασίλευσεν ἑνὸς δέοντος [5]) τεσ-

1) ἀφικνοῦμαι. 2) Der Genitiv der Eigenschaft, wie im Latein.: „von, im Alter von". — 3) πίπτω. — 4) ἀπόλλυμι. 5) Genit. absol., „40 Jahr, indem eines fehlt, d. h. weniger eins. Diese Art des Zählens ist in der Gr. § 28 nachzutragen.

σαράκοντα ἔτη, ἐβίωσε δὲ τέσσαρα καὶ ὀγδοήκοντα, ζῶν δὲ παρέδωκε τὴν ἀρχὴν πρὸ δυοῖν ἐτοῖν τῆς τελευτῆς τῷ Πτολεμαίῳ τῷ υἱῷ, Φιλαδέλφῳ δὲ ἐπίκλησιν*). Ἀρταξέρξης, ὁ Μνήμων προσαγορευθείς, ἐφ' ὃν Κῦρος ὁ ἀδελφὸς ἐστρατεύσατο, βασιλεύων ἐν Πέρσαις ἐτελεύτησε νοσῶν, ἔξ καὶ ὀγδοήκοντα ἐτῶν γενόμενος, ὡς δὲ Δείνων ἱστορεῖ, τεσσάρων καὶ ἐνενήκοντα βιώσας ἐπιβουλῇ τοῦ ἀδελφοῦ Γωσίθρου ἐφονεύθη. — Ἄσανδρος δέ, ὁ ὑπὸ τοῦ Σεβαστοῦ ἀντὶ ἐθνάρχου βασιλεὺς ἀναγορευθεὶς Βοσπόρου, περὶ ἔτος ἐνενηκοστὸν ὢν ἱππομάχων καὶ πεζομάχων οὐδενὸς ἧττων ἐφάνη· ὡς δὲ ἑώρα τοὺς αὑτοῦ Σκριβωνίῳ προστιθεμένους, ἀποσχόμενος σιτίων ἐτελεύτησε βιώσας ἔτη τρία καὶ ἐνενήκοντα. —

5. Altgewordene Philosophen.

Ἐπεὶ δὲ καὶ φιλόσοφοι καὶ οἱ περὶ παιδείαν ἔχοντες, ἐπιμέλειάν πως καὶ οὗτοι ποιούμενοι ἑαυτῶν, εἰς μακρὸν γῆρας ἦλθον, ἀναγράψωμεν καὶ τούτων τοὺς ἱστορημένους καὶ πρώτους γε φιλοσόφους. Δημόκριτος ὁ Ἀβδηρίτης ἐτῶν γεγονὼς τεσσάρων καὶ ἑκατὸν ἀποσχόμενος τροφῆς ἐτελεύτα. Ξενόφιλος δὲ ὁ μουσικὸς ὑπὲρ τὰ πέντε καὶ ἑκατὸν ἔτη Ἀθήνῃσιν ἐβίωσε. Σόλων δὲ καὶ Θαλῆς καὶ Πιττακός, οἵτινες τῶν κληθέντων ἑπτὰ σοφῶν ἐγένοντο, ἑκατὸν ἕκαστος ἐβίωσεν ἔτη. Ζήνων δὲ ὁ τῆς Στοϊκῆς φιλοσοφίας ἀρχηγὸς ὀκτὼ καὶ ἐνενήκοντα ἔτη γεγονὼς ἐτελεύτησε. Κλεάνθης δὲ ὁ Ζήνωνος μαθητὴς καὶ διάδοχος ἐννέα καὶ ἐνενήκοντα οὗτος γεγονὼς ἔτη φῦμα ἔσχεν ἐπὶ τοῦ χείλους καὶ ἀποσχόμενος τροφῆς ἐξέλιπε τὸν βίον. Ξενοκράτης δὲ Πλάτωνος μαθητὴς ἐβίωσεν ἔτη τέσσαρα

*) Mit Beinamen.

καὶ ὀγδοήκοντα. Καρνεάδης δὲ ὁ νεωτέρας Ἀκαδημίας ἀρχηγὸς ἔτη πέντε καὶ ὀγδοήκοντα· Χρύσιππος ἓν καὶ ὀγδοήκοντα· Ποσειδώνιος δ' ὁ Ἀπαμεὺς τῆς Συρίας, νόμῳ δὲ Ῥόδιος, φιλόσοφός θ' ἅμα καὶ ἱστορίας συγγραφεύς, τέσσαρα καὶ ὀγδοήκοντα· Κριτόλαος ὁ Περιπατητικὸς δύο ἐπ' ὀγδοήκοντα [1])· Πλάτων δὲ ὁ ἱερώτατος ἓν ἐπ' ὀγδοήκοντα· Ξενοφῶν δὲ ὁ Γρύλλου ἐνενηκοστὸν ἔτος τελῶν. —

6. Altgewordene Geschichtschreiber.

Οὗτοι μὲν φιλοσόφων οἱ ἔνδοξοι· συγγραφέων δὲ Κτησίβιος μὲν ἑκατὸν εἴκοσι τεσσάρων ἐτῶν ἐν περιπάτῳ ἐτελεύτησεν, ὡς Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς ἱστορεῖ· Ἱερώνυμος δὲ ἐν πολέμοις γενόμενος καὶ πολλοὺς καμάτους ὑπομείνας καὶ τραύματα ἐβίωσεν ἔτη τέσσαρα καὶ ἑκατόν, ὡς Ἀγαθαρχίδης ἐν τῇ ἐννάτῃ τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν λέγει, καὶ θαυμάζει γε τὸν ἄνδρα, ὡς μέχρι τῆς τελευταίας ἡμέρας ἄρτιον ὄντα ἐν ταῖς συνουσίαις καὶ πᾶσι τοῖς αἰσθητηρίοις μηδενὸς γενόμενον τῶν πρὸς ὑγίειαν ἐλλιπῆ. Ἑλλάνικος ὁ Λέσβιος καὶ Φερεκύδης ὁ Σύρος ὁμοίως ὀγδοήκοντα καὶ πέντε· Τίμαιος ὁ Ταυρομενείτης ἓξ καὶ ἐνενήκοντα· Ἀριστόβουλος δὲ ὁ Κασσανδρεὺς ὑπὲρ τὰ ἐνενήκοντα ἔτη λέγεται βεβιωκέναι· τὴν ἱστορίαν δὲ τέταρτον καὶ ὀγδοηκοστὸν ἔτος γεγονὼς ἤρξατο συγγράφειν, ὡς αὐτὸς ἐν ἀρχῇ τῆς πραγματείας λέγει. Πολύβιος δὲ ὁ Λυκόρτα, Μεγαλοπολίτης, ἀγρόθεν ἀνελθὼν [2]) ἀφ' ἵππου κατέπεσε [3]) καὶ ἐκ τούτου νοσήσας ἀπέθανεν [4]) ἐτῶν δύο καὶ ὀγδοήκοντα. —

---

1) Vergl. Gr. §. 28. Anm. 3. — 2) ἀνέρχομαι. — 3) καταπίπτω. — 4) ἀποθνήσκω. —

VIII. Pronomina.

1. Τὸ βιβλίον οὐ σοί, ἀλλ' ἐμοί ἐστιν. — 2. Ἡμεῖς μὲν ἄνδρες ἐσμέν, ὑμεῖς δὲ νεανίαι ἐστέ. — 3. Μνημονεύω σου, ὦ φίλε, πανταχοῦ καὶ μνημονεύσω σου ἀεί. — 4. Ὦ παῖ, ἄκουέ μου. — 5. Ἐγὼ μὲν ἐρρωμενέστερός εἰμί σου, σὺ δὲ ἐρρωμενέστερος τοῦ ἀδελφοῦ μου. — 6. Ἀνδρείως μάχεσθε, ὦ στρατιῶται· ἡμῶν γὰρ ἔστι τὴν πόλιν φυλάττειν· εἰ δὲ ὑμεῖς φεύγετε, πᾶσα ἡ πόλις διαφθείρεται. — 7. Σφῶν λύσει ὁ πατὴρ τὴν ὑπόσχεσιν· σφὼ γὰρ πράττετε τὰ προσήκοντα· ἀλλ' ὁ ἀδελφὸς οὐ διέλυσε τὰ πρὸς τὸν πατέρα. — 8. Ἐπ' ἀλλοτρίων παραδειγμάτων παίδευε σεαυτόν, καὶ ἀλλότριος ἔσῃ κακῶν. — 9. Μηδ' εὐτύχημα μηδὲν ἔστω οὕτω μέγα, ὅ σ' ἐξαίρει μεῖζον ἢ προσήκει, μηδὲ ξυμφορὰ μηδεμία σε καταλαμβανέτω οὕτω δυσχερής, ὥστε δουλεύεις τῷ ἄλγει· ἀλλ' ὁ αὐτὸς ἀεὶ μένε, τὴν σαυτοῦ φύσιν σώζων βεβαίως, ὥστε χρυσὸς ἐν πυρί. — 10. Σχολαστικὸς ἐν ἀπορίᾳ ὢν τὰ αὐτοῦ βιβλία ἐπίπρασκε καὶ γράφων πρὸς τὸν πατέρα ἔλεγε· Σύγχαιρε ἡμῖν, πάτερ· ἤδη γὰρ ἡμᾶς τὰ βιβλία τρέφει. — 11. Πολλάκις οὐδὲν οὕτως ἐχθρόν ἐστιν ὡς ἡμεῖς ἡμῖν αὐτοῖς. — 12. Οὐδενὶ ἀνθρώπῳ προσήκει ἐκεῖνο τὸ ἀνόσιον ῥῆμα· ἕκαστος αὐτὸς αὑτῷ μάλιστα φίλος. — 13. Οὐχ οἱ ἀκρατεῖς τοῖς μὲν ἄλλοις βλαβεροί, ἑαυτοῖς δὲ ὠφέλιμοί εἰσιν, ἀλλὰ κακοῦργοι μὲν τῶν ἄλλων, ἑαυτῶν δὲ πολὺ κακουργότεροι. — 14. Χρυσίου, καὶ δοξῶν καὶ τιμῶν καὶ ἡδονῶν καὶ πολλῶν ἄλλων χρημάτων ἕνεκα ἐπιβουλεύουσιν ἀλλήλοις οἱ ἄνθρωποι. — 15. Προσήκει τῷ μεγάλῳ ἀνδρὶ ἐσομένῳ οὔτε μόνον ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ στέργειν, ἀλλὰ τὰ δίκαια, ἐάν τε ὑφ' αὐτοῦ, ἐάν τε ὑπ' ἄλλου τινὸς πραττόμενα ᾖ. — 16. Πλάτων τοὺς πατέρας παρακελεύεται· ὦ πατέρες, παιδεύετε τοὺς παῖδας ὑμῶν τὴν δικαιοσύνην καὶ τὴν

μετριότητα καὶ τὴν εὐσέβειαν· αὐτοί τε ἔστε σώφρονες καὶ τοὺς παῖδας ἀποφαίνετε ὑμῶν αὐτῶν μιμητάς. — 17. Τῷ ἡμετέρῳ βίῳ οὐκ ἀεὶ τὸ αὐτὸ σχῆμα διαμένει. — 18. Ἀθηνᾶ τὴν τῶν ἐλαιῶν φυτείαν ἐχαρίσατο τοῖς ἀνθρώποις καὶ τὴν τούτου τοῦ καρποῦ ἐργασίαν. — 19. Τῶν τοῦ Μιλτιάδου κλεινότατον ἦν ἡ ἐν Μαραθῶνι νίκη, καὶ διὰ ταύτην τὴν νίκην ἐγράφθη ἐν τῇ ποικίλῃ στοᾷ. — 20. Οἱ Λακεδαιμόνιοι ἐκέλευσαν τοὺς Ἀθηναίους μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον, ὅσοι ἔτι ἦσαν, συγκαταλύειν μετὰ σφῶν τοὺς περιβόλους. — 21. Λέγεται Ἀπόλλων φονεῦσαι Μαρσύαν, νικήσας ἐρίζοντά οἱ περὶ μουσικῆς· καὶ διὰ τοῦτο ποταμός τις Φρυγίας Μαρσύας προσηγορεύθη. — 22. Παυσανίας ὁ Κλεομβρότου ἐκ Λακεδαίμονος στρατηγὸς τῶν Ἑλλήνων ἐστράτευσεν ἐς Κύπρον καὶ αὐτῆς τὰ πολλὰ κατεστρέψατο, καὶ ὕστερον ἐς Βυζάντιον· ἐν τῇδε τῇ ἡγεμονίᾳ ἤδη βίαιος ἦν καὶ χαλεπὸς τοῖς ξυμμάχοις. — 23. Διὰ ταύτην τὴν βιαιότητα τοῦ Παυσανίου οἱ Ἴωνες καὶ ὅσοι βασιλεῖ μέχρι τοῦδε τοῦ χρόνου ἐδεδουλεύκεσαν, πέμποντες πρὸς τοὺς Ἀθηναίους ἐκέλευσαν αὐτοὺς ἡγεμόνας σφῶν εἶναι κατὰ τὸ ξυγγενές. — 24. Εἰκὸς τοῖς μὲν πολεμίοις τοὺς ὅρκους λελυκόσιν ἐναντίους εἶναι τοὺς θεούς, ἡμῖν δέ, τοῖς ὅρκοις ἐμμένουσι ξυμμάχους, οἵπερ ἱκανοί εἰσι καὶ τοὺς μικρούς, κἂν ἐν δεινοῖς ὦσι, σώζειν εὐπετῶς. —

II.

1. Τίνες εἰσὶν ἄγκυραι δυναταί; Φρόνησις, μεγαλοψυχία, ἀνδρεία· ταύτας οὐδεὶς χείμων σαλεύει. — Διὰ τί τρεῖς τοῦ μηνὸς ἀρχὰς καὶ προθεσμίας ἔχουσιν οἱ Ῥωμαῖοι οὐ ταὐτὸ διάστημα τῶν ἡμερῶν μεταξὺ λαμβάνοντες; εἴ τινι τῶν ἀδοξοτέρων συγγραφέων πιστεύειν ἔξεστιν, Ὅτι*) ταῖς καλάνδαις συνῆγον τὸν δῆ-

*) Hiemit beginnt die Antwort auf die vorangeſtellte Frage.

μον οἱ ἄρχοντες καὶ κατήγγελλον εἰς πέμπτην τὰς νόννας, εἰδοῦς δὲ ἡμέραν ἱερὰν ἐνόμιζον. — Ὁ ἰατρὸς λέγοι ἄν, ὅτι*) ἡ ἐμὴ τέχνη περὶ τὸ μέγιστον ἀγαθόν· τί γὰρ μεῖζόν ἐστιν ἀγαθὸν ἀνθρώποις ὑγιείας; Ὁ δὲ χρηματιστὴς λέγοι ἄν, ὅτι τὸ τῆς ἐμῆς τέχνης ἔργον μεῖζον ἀγαθόν ἐστιν ἢ τῆς σῆς· τίνι γὰρ ὁ πλοῦτος μέγιστον ἀγαθὸν οὐ φαίνεται; — 4. Τοῦτο κατὰ Γοργίαν τὸν σοφιστὴν μέγιστον ἀγαθόν ἐστιν, ὅπερ αἴτιον ἅμα μὲν ἐλευθερίας αὐτοῖς τοῖς ἀνθρώποις, ἅμα δὲ τοῦ ἄλλων ἄρχειν, ἐν τῇ αὐτοῦ πόλει ἑκάστῳ. — 5. Σωκράτης τὸν Γοργίαν ἐκέλευσε λέγειν, τί ἐστι τοῦτο τῶν ὄντων, περὶ οὗ οὗτοι οἱ λόγοι εἰσίν, οὓς ἡ ῥητορικὴ παρέχει. — 6. Οἷον τὸ ἔθος ἑκάστου, τοιόσδε ὁ βίος. — 7. Ἐν ἔθει ἦν τοῖς Ἕλλησιν ἐν ἐκκλησίαις ἀνατείνειν τὰς χεῖρας, ὅτῳ ἂν τὰ ὑπό τινος λεχθέντα ἀγαθὰ εἶναι φαίνηται. — 8. Καλῶς Θουκυδίδης ὁ Ἀθηναῖος ξυνέγραψεν οὐ μόνον, τίνες ἦσαν τοῦ Πελοποννησιακοῦ πολέμου αἰτίαι, ἀλλὰ καὶ αὐτὰ τὰ ἐν τούτῳ τῷ πολέμῳ πράγματα. — 9. Καλῶς ἐπολιτεύσατο Λίων ὁ Συρακόσιος, καλῶς Ἐπαμινώνδας ὁ Θηβαῖος, ὧν ἑκάτερος Πλάτωνος ἦν συνουσιαστής. — 10. Πρὸς τῷ Τίγρητι ποταμῷ πόλις ἦν μεγάλη καὶ πολυάνθρωπος, ᾗ ὄνομα Σιτάκη. — 11. Θησεὺς ἐν Ἰσθμῷ Σίνιν τὸν πιτυοκάμπτην, ᾧ τρόπῳ πολλοὺς ἐφόνευε, τούτῳ αὐτὸν ἐφόνευσεν. — 12. Καὶ εὐτύχημα μέγα καὶ ἐξαπιναῖον καὶ ξυμφορὰ μέγα ἀποφαίνει ἀνθρώπους, οἱοίπερ ἕκαστοί εἰσιν. — 13. Δεινοί γε οἱ ἄνθρωποι, οἵτινες εἰς τριῶν ἢ τεττάρων ἡμερῶν πλοῦν τὰ ἀναγκαῖα πορίζονται, εἰς δὲ τὸ πάντων ἐνδεὲς γῆρας ἐφόδια οὐ παρασκευάζονται. — 14. Τί ἐστι δικαιοσύνη; κατά γε Πλάτωνα ὁμόνοια τῆς ψυχῆς πρὸς αὑτήν ἢ ἕξις διανε-

*) Dient nur zur Einführung der Rede, wird nicht übersetzt.

μητικὴ τοῦ καὶ' ἀξίαν[1]) ἑκάστῳ· κριτὴς οὖν ὢν, ἀεὶ ταὐτὰ περὶ τῶν αὐτῶν γίγνωσκε, οὐδενὶ χαριζόμενος. — 15. *Τί ἐστι σωφροσύνη; κατὰ τὸν αὐτὸν φιλόσοφον ἐπιθυμιῶν τινων καὶ ἡδονῶν ἐγκράτεια.* — 16. *Οὐκ ἔστιν ὁντινα μᾶλλον ὁ τῶν Ἀθηναίων δῆμος ἐθαύμασεν ἢ τὸν Περικλέα διὰ τό τε μέγεθος τοῦ φρονήματος καὶ τὴν τοῦ λόγου δύναμιν καὶ τὴν καλὴν πολιτείαν καὶ τὰ τῆς πόλεως κοσμήματα.* — 17. *Κάμιλλος ὁ Ῥωμαῖος ἐν ἡγεμονίαις πολλαῖς καὶ παντοδαπαῖς τοιοῦτον αὐτὸν παρεῖχεν, ὥστε τὴν μὲν ἐξουσίαν, καὶ μόνου αὐτοῦ ἄρχοντος, κοινήν, τὴν δὲ δόξαν ἰδίαν, καὶ μεθ' ἑτέρων πράττοντος.* — 18. *Οὐ καλόν, τοὺς νεκροὺς κακῶς λέγειν· ὀνείδους οὖν ἄξιος, ὃς τοὺς νεκροὺς κακῶς λέγει, τῷ δεῖνι μεμφόμενος καὶ τὸν δεῖνα ἀνάξιον εἶναι φάσκων.* — 19. *Ὁ νῦν πένης, ὁ τοῦ δεῖνος, ὁ βουλευσάμενός τι περὶ ἀγεννοῦς οὕτω τέχνης, μετ' ὀλίγον ἅπασι ζηλωτὸς καὶ ἐπίφθονος ἔσῃ*[2]). — 20. *Δημώναξ ὁ φιλόσοφος ἅπασι καὶ ἰδιώταις καὶ πολίταις συνέπραττεν· ὁπόσοι δὲ αὐτῷ δῆλοι ἦσαν οὐ θεραπευόμενοι*[3]), *τοσούτοις οὐ συνῆν.* — 21. *Ἡ εὐσέβεια τοσοῦτον τῶν ἄλλων ἀρετῶν προέχει, ὅσον καὶ οἱ θεοὶ τῶν θνητῶν ἐν πᾶσι*[4]) *πρωτεύουσιν.* — 22. *Πρωταγόρας τεττεράκοντα ἔτη ἐν τῇ τῆς παιδεύσεως τέχνῃ ἦν*[5])· *καὶ ἐν ἅπαντι τῷ χρόνῳ τούτῳ ἔτι εἰς τὴν ἡμέραν ταυτηνὶ μέγα κλέος ἔχων*[6]) *οὐ πέπαυται.* — 23. *Πλάττε σοι θηρίον τι, σῶμα μὲν ἔχον ὡς κυνός, κεφαλὴν δὲ καὶ*

---

1) *τὸ καθ' ἀξίαν:* das nach Gebühr, Gebührende, (Jedem) das Seine. — 2) So spricht die als Person gedachte Bildung zu einem Knaben, der zu einem Steinmetzer in die Lehre gebracht ist, um ihn zu edlern Beschäftigungen zu ermuthigen und anzufeuern (Lucian. Somn. c. 11). — 3) Nicht geheilt, d. h. unheilbar, unverbesserlich. — 4) In jeder Hinsicht — in allen Dingen. — 5) Er war in der Kunst, d. h. er betrieb dieselbe. — 6) Das Part. zu übersetzen durch den Inf.

πρόσωπον κόρης, πτέρυγας δὲ ὄρνιθος, φωνὴν δὲ ἀνθρώπου· τοιαύτη ἦν ἰδέα τῆς Καδμείας Σφιγγός. — 24. Λέοντες, παρδάλεις, λύγκες καὶ τἆλλα ὅσα ἐστὶ τοιαῦτα θηρία, ἀγρεύεται ἐν τῇ Νύσῃ τῇ ὑπὲρ τῆς Συρίας καὶ πρὸς τοῖς ἄλλοις ὄρεσιν, ὅσα οἷά τ' ἐστὶ τρέφειν τοιαῦτα. —

---

1. Ueber die Weisheit des Sokrates.

Σωκράτης ἐν τῇ αὐτοῦ ἀπολογίᾳ πρὸς τοὺς δικαστὰς λέγει τοιάδε· Τῆς ἐμῆς, εἰ δή τίς ἐστι σοφία καὶ οἵα, μάρτυρα ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπάξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. Χαιρεφῶν γὰρ ὑμῖν εὖγνωστός που. Οὗτος ἐμός τε ἑταῖρος ἦν ἐκ νέου [1]), καὶ ὑμῶν τῷ πλήθει ἑταῖρός τε καὶ τῆς φυγῆς ταύτης κοινωνὸς καὶ μεθ' ὑμῶν τῆς καταγωγῆς [2]), καὶ δῆλος δή, οἷος ἦν ὁ Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ τι [3]) παρασκευάζοιτο. Καὶ δή ποτε καὶ εἰς Δελφοὺς πορευόμενος τοῦτο τὸ μαντεῖον ἐμαντεύσατο, εἴ τις ἐμοῦ εἴη σοφώτερος. Ἀκούετε οὖν τὸν χρησμὸν τῆς Πυθίας, μηδένα σοφώτερον εἶναι ἐμοῦ. — Ταῦτα οὖν ἀκούσας ἐλογιζόμην οὑτωσί· Τί ποτε λέγει ὁ θεὸς καὶ τί ποτε αἰνίττεται; ἐμοὶ γὰρ οὐκ ἄδηλός εἰμι οὔτε μέγα οὔτε σμικρὸν σοφὸς ὤν. — Καὶ πολὺν μὲν χρόνον ἄπορος ἦν, τί ποτε λέγει. Ἔπειτα μόγις πάνυ ἐπὶ ζήτησιν αὐτοῦ τοιαύτην τινὰ ἐτραπόμην· πάντες γὰρ οἱ ἄνθρωποι νομίζουσιν, εἶναι σοφοί, εἰσὶν δ' οὔκ· ἐγὼ δὲ γιγνώσκω, ὅτι ἡ ἐμὴ σοφία οὐδένος ἄξιός ἐστιν. — Κινδυνεύει οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι καὶ ἐν τῷ χρησμῷ τούτῳ

---

1) a puero. 2) bezieht sich auf die Rückkehr der durch die Dreißig Vertriebenen unter Anführung des Thrasybulos. 3) ἐπὶ τοῦτο ὅ τι.

τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός. Καὶ ἐμὲ παράδειγμα παρέχων τοῦτο ἀποδεικνύει, ὥςπερ ἂν εἰ λέγοι Ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅστις, ὥςπερ Σωκράτης, γιγνώσκει, ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν. —

2. Die Küſte Latiums.

Ἡ πρὸς ἑσπέραν παραλία μέχρι πόλεως Σινουέσσης[1]) ἀπὸ τῶν Ὡστίων Λατίνη ὀνομάζεται· ἅπασα δ'ἐστὶν εὐδαίμων καὶ παμφόρος, πλὴν ὀλίγων χωρίων τῶν κατὰ τὴν παραλίαν, ὅσα ἑλώδη καὶ νοσερά, οἷα τὰ τῶν Ἀρδεατῶν καὶ μεταξὺ Ἀντίου καὶ Λαουϊνίου μέχρι Πωμεντίου καί τινων τῆς Σετήνης χωρίων καὶ τῆς περὶ Ταρρακίναν καὶ τὸ Κιρκαῖον· ἢ εἴ τινα ὀρεινὰ καὶ πετρώδη, καὶ ταῦτα δ'οὐ τελέως ἀργά, οὐδ' ἄχρηστα· ἀλλὰ νομὰς παρέχει δαψιλεῖς, ἢ ὕλην, ἢ καρπούς τινας ἐλείους ἢ πετραίους. Πόλεις δ'ἐπὶ θαλάττῃ μέν εἰσι τῶν Λατίνων τά τε Ὥστια, πόλις ἀλίμενος διὰ τὴν πρόςχωσιν, ἣν ὁ Τίβερις παρασκευάζει· παρακινδύνως μὲν οὖν ὁρμίζεται μετέωρα ἐν τῷ σάλῳ τὰ ναυκλήρια, τῶν δὲ ὑπηρετικῶν σκαφῶν[2]) τινα τῶν φορτίων ἐκδεχομένων, ἀνάγεται μέχρι τῆς Ῥώμης. Κτίσμα δ'ἐστὶ τὰ Ὥστια Ἄγκου Μαρκίου, τοῦ τετάρτου Ῥωμαίων βασιλέως· αὕτη μὲν ἡ πόλις τοιαύτη. Ἑξῆς δ'ἐστὶν Ἄντιον, ἀλίμενος καὶ αὐτὴ πόλις· ἵδρυται δ'ἐπὶ πέτραις· διέχει δὲ ἐκείνης περὶ διακοσίους ἑξήκοντα σταδίους. Οἱ δὲ οἰκήτορες ταύτης τῆς πόλεως πρότερον τὴν παραλίαν ἐκείνην ναυσὶν ἐλῃστευσαν· οἱ δὲ Ῥωμαῖοι ἔπαυσαν αὐτοὺς τῆς τοιαύτης ἐπιτηδεύσεως. Ἀνὰ

1) Der Name einer Stadt Latiums, wie auch die folgenden. — 2) Hülfsboote.

μέσον δὲ τούτων τῶν πόλεών ἐστι τὸ Λαουΐνιον· εἶτα Λαύρεντον· ὑπέρκειται δὲ τούτων ἡ Ἀρδέα, κατοικία Ῥουτούλων. Μετὰ δὲ Ἄντιον τὸ Κιρκαῖόν ἐστιν, ἑξῆς Ταρακίνα. Πρόκειται δὲ αὐτῆς μέγα ἕλος, ὃ ὀνομάζεται ὁ μείζων Ἄυφιδος. Ἑξῆς δὲ Φορμίαι Λακωνικὸν κτίσμα ἐστίν. Ταύτης δ' ἀνὰ μέσον καὶ Σινουέσσης εἰσὶν αἱ Μιντοῦρναι, σταδίους ἑκατέρας διέχουσαι περὶ ὀγδοήκοντα. Ἡ δὲ Σινούεσσα ἐν Σητίνῳ κόλπῳ ἵδρυται, ἀφ' οὗ καὶ τοὔνομα· πλησίον ἔστι δ' αὐτῆς θερμὰ λουτρὰ κάλλιστα. Αὗται μὲν αἱ ἐπὶ θαλάττῃ τῶν Λατίνων πόλεις. —

IX. Verba muta.

A. Activum.

1. Tempora mit unverändertem Präſensſtamme.

1. Ὁ θεὸς σώζει καὶ φυλάττει τοὺς ἀνθρώπους. — 2. Τῷ ἀδελφῷ παρέχετον πᾶσιν ἀδελφοῖς παράδειγμα φιλαδελφίας. — 3. Τὸ μὲν χρυσίον δοκιμάζομεν τῷ πυρί, τοὺς δὲ φίλους διαγιγνώσκομεν ταῖς ἀτυχίαις. — 4. Ὁ ἥλιος πανταχῆ ἐπιλάμπων ταῖς ἀκτῖσιν ὥσπερ ὀφθαλμοῖς πολλοῖς βλέπει ἅπασαν γῆν καὶ θάλατταν. — 5. Φεύγετε τὰ κακά, ὦ ἄνθρωποι, καὶ πράττετε τὰ δίκαια· τὸν γὰρ τὰ δίκαια πράττοντα φυλάττει ὁ θεός, τὸν δὲ τὰ ἄδικα κολάζει. — 6. Πᾶσα δύναμις καὶ πᾶς πλοῦτος ὑπείκει τῇ ἀρετῇ. — 7. Ὦ φίλε, σπεύδοις τὸ χαλεπὸν ἔργον καὶ εὐθὺς ἀνύτοις! — 8. Τήρης ὁ βασιλεὺς ἔλεγεν, ὁπότε σχολάζοι καὶ μὴ στρατεύοιτο, τῶν ἱπποκόμων νομίζειν μηδὲν *) διαφέρειν.

---

*) Durchaus nicht, in keiner Beziehung.

— 9. Οἱ Ἀρεοπαγῖται ἐν νυκτὶ καὶ σκότῳ ἐδίκαζον, ὡς μὴ ἐς τοὺς λέγοντας, ἀλλ' ἐς τοὺς τῶν λεγόντων λόγους ἀποβλέποιεν. — 10. Λόγῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν, καὶ τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν. — 11. Σοφοὺς νόμιζε μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας. — 12. Φίλιππος τοὺς Ἀθηναίους εἴκαζε τοῖς Ἑρμαῖς, στόμα μόνον ἔχουσιν. — 13. Γυμνάζετε, ὦ παῖδες, τὸ σῶμα· ὁ γὰρ τὸ σῶμα γυμνάζων καὶ τῇ ψυχῇ ῥώμην παρέχει. — 14. Ἐν τῷ τῶν θεῶν συμποσίῳ Ἀπόλλων ἐκιθάριζε, καὶ αἱ Μοῦσαι ᾖδον. — 15. Παρύσατις, ἡ τοῦ Δαρείου γύνη, ὑπῆρχε Κύρῳ τῷ νεωτέρῳ, βουλευομένῳ, ὅπως βασιλεύσει ἀντὶ τοῦ ἀδελφοῦ, στέργουσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. — 16. Λυκοῦργος εἴθιζε τοὺς Λακεδαιμονίους τῇ ἐγκρατείᾳ καὶ ὑπομονῇ καὶ ἀνδρίᾳ, ὅπως δεινοὶ εἶεν τὴν πατρίδα σώζειν καὶ διαφυλάττειν. — 17. Ἐξῆν πᾶσι Πέρσαις πέμπειν τοὺς παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα· καὶ ἔπεμπον, οἷς ῥᾴδιον ἦν αὐτοὺς τρέφειν καὶ ἀργοὺς ὄντας [1]). — 18. Κῦρος, ἔτι παῖς ὤν, πρὸς τὸν Ἀστυάγην ἐν τῷ δείπνῳ ἔλεγεν· Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη ἐπὶ πάντα τὰ λεκάνια ταῦτα διατείνειν τὰς χεῖρας· τοὺς Πέρσας ἄρτος καὶ κρέας πολὺ ῥᾷον εἰς πλησμονὴν ἄγει. — 19. Πολλοὶ ἄνθρωποι, παῖδες ἔτι ὄντες, φίλοι εἰσίν, ἄνδρες δὲ ὄντες, στασιάζουσιν· Ἀριστείδης δὲ καὶ Θεμιστοκλῆς, ἔτι παῖδε ὄντε, ἐστασιαζέτην. — 20. Ὅτε οἱ Ἕλληνες ἦκον ἐπὶ τὸν ποταμὸν, ὃς ὥριζε τήν τε τῶν Μακρώνων [2]) χώραν καὶ τὴν τῶν Σκυθινῶν [2]), εἶχον μὲν

---

1) Auch wenn sie müßig waren, d. h. nichts durch ihre Arbeit verdienten. — 2) Zwei Völkerschaften auf der Nordküste Kleinasiens, durch deren Gebiet Xenophon und die 10,000 Griechen auf ihrem Rückzuge ziehen mußten.

ὑπερδέξιον χωρίον οἷον [1]) χαλεπώτατον, καὶ ἐξ ἀριστερᾶς ἄλλον ποταμόν, εἰς ὃν ἐνέβαλλεν ὁ ὁρίζων· ἔκοπτον δὲ τὰ δένδρα, σπεύδοντες ὡς τάχιστα τὸν ποταμὸν διαβαίνειν. — 21. Οἱ παλαιοὶ προσῆπτον τῇ Ἀθηνᾷ τὴν ἐλαίαν καὶ τὴν τεκτονικὴν τέχνην καὶ πολλὰς ἄλλας ἐπιστήμας, μάλιστα δὲ πολλὰ τῶν φιλοτέχνων ἔργων, ἀφ' ὧν Ἐργάνην αὐτὴν προσηγόρευον. — 22. Οἱ πλάσται τὸν μὲν Λία ἀναπλάττουσι γενειήτην καὶ σκῆπτρον ἔχοντα, τὸν δὲ Ποσειδῶνα κυανοχαίτην, τὴν δὲ Ἀθηνᾶν παρθένον καλὴν καὶ κόρυν φέρουσαν καὶ δόρυ πάλλουσαν, τὴν δὲ Ἥραν λευκώλενον καὶ εὐείμονα καὶ εὐῶπιν καὶ βασιλικὴν καὶ ἱδρυμένην ἐπὶ χρυσοῦ θρόνου, τὸν δ' Ἀπόλλωνα μειράκιον γυμνὸν ἐν χλαμυδίῳ, τοξότην καὶ προβαίνοντα τοῖς ποσὶν ὡς διώκοντα. — 23. Ὁ Ἀσιυάγης φύλακας συνέπεμπεν ἐφ' ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυσχωρίων φυλάσσοιεν τὸν Κῦρον, καὶ εἴ τῶν ἀγρίων τι αὐτῷ ἐπιπίπτοι θηρίων. — 24. Ὁ Κῦρος διέπεμπε τὰς τῶν ἱππέων τάξεις κατὰ τὰς ὁδούς, καὶ ἐκέλευεν, οὓς μὲν ἔξω λαμβάνοιεν, κατακαίνειν, τοὺς δ' ἐν ταῖς οἰκίαις κηρύττειν [2]) ἐνδὸν μένειν· εἰ δέ τινα ἔξω λαμβάνοιεν, ὅτι φονευθήσοιτο. —

2. Tempora mit verändertem Stamme.

a. Verba labialia.

1. Οἱ ἀνδρεῖοι ἄνδρες ὑπὲρ τῆς πατρίδος τὴν μάχην συνάψουσι καὶ ἀθάνατον ἑαυτῶν μνήμην καταλείψουσιν. — 2. Τοῖς Ἴωσι μέγας ἦν φόβος, μὴ ὁ Δαρεῖος πάσας τῆς Ἰωνίας πόλεις ἀνατρέψοι [3]). — 3.

---

1) Dient zur Verstärkung des Superlativs. — 2) Abhängig von ἐκέλευε „sie sollten bekannt machen, daß u. s. w. — 3) Als sie sich nämlich gegen ihn empört hatten und bei Lada gänzlich geschlagen waren 496 v. Chr. —

Ζεὺς τὸν Ἑρμῆν ἔπεμψε πρὸς τὴν Καλυψὼ κελεύσαντα, ἀποπέμψαι τὸν Ὀδυσσέα εἰς Ἰθάκην. — 4. Ἡρακλῆς τῷ ἰῷ τῆς Λερναίας ὕδρας τῆς ὑπ' αὐτοῦ φονευθείσης τοὺς ἰοὺς ἔβαψεν. — 5. Ἔστιν [1]) ἀνθρώπῳ, τοῖς αὐτοῖς ὄμμασι καὶ φιλικῶς καὶ ἐχθρῶς πρός τινας βλέψαι, καὶ τῇ αὐτῇ φωνῇ εἰς λόγους καὶ φιλικοὺς καὶ ἐχθρούς τισι συνάψαι. — 6. Ὁ ἀγαθὸς στρατηγὸς βλέψει ἀεί, μὴ ἐνδεὴς ἦ τούτων, ἃ ἀναγκαῖά ἐστι πρὸς τὴν νίκην. — 7. Θουκυδίδης [2]) ὁ Μελησίου δύο υἱεῖς ἔθρεψε, Μελησίαν καὶ Στέφανον, καὶ τούτους εὖ ἐπαίδευσε τά τε ἄλλα, καὶ ἐπάλαισαν κάλλιστα Ἀθηναίων· ἀλλ' ἄνδρες ἀγαθοὶ οὐκ ἦσαν. — 8. Τῇ Ἀθηνᾷ ὁ τῶν Ἀθηναίων δῆμος ἱερός· ὁ γὰρ ποιητὴς τοὺς Ἀθηναίους ὀνομάζει δῆμον Ἐρεχθῆος [3]) μεγαλήτορος, ὃν ποτ' Ἀθήνη θρέψε, Διὸς θυγατήρ. —

9. Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων. — 10. Τὰς τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. — 11. Πᾶν ὕψος ἐν τῷ θνητῷ γένει περιέτρεψεν [4]) ἢ χρόνος ἢ φθόνος. — 12. Ἐν τῇ πρὸς Κουνάξοις μάχῃ Κῦρος δείσας, μὴ βασιλεὺς ἐπικάμψας ὡς εἰς κύκλωσιν κατακόψῃ τὸ Ἑλληνικόν, ἀντιπαράγει τοῖς πολεμίοις καὶ σὺν τοῖς ἑξακοσίοις [5]) εἰς φυγὴν ἔτρεψε τοὺς πρὸ βασιλέως ἑξακισχιλίους [5]). — 13. Ὁ Ἀγησίλαος ἀντὶ τοῦ ἐπὶ Καρίαν στρατεύεσθαι, ὡς Τισσαφέρνης ἐνόμισεν, εὐθὺς τἀναντία στρέψας [6]) ἐπὶ Φρυγίας ἐπορεύετο. — 14. Ὁ τολμηρὸς στρατηγός, ὁπόταν οἱ πολέμιοι ἐγγὺς ὦσι, τὴν μάχην ξυνάψει ἐκ παντὸς τρό-

---

1) = ἔξεστι es ist möglich. — 2) Nicht zu verwechseln mit dem Geschichtschreiber dieses Namens, der ein Sohn des Oloros war. — 3) Epische Formen für Ἐρεχθέως und Ἀθηνᾶ. — 4) Der Aorist. bezeichnet hier ein Pflegen. — 5) Es sind unter 600, und 6000 die Leibwache des Kyros und des Artaxerxes zu verstehen. — 6) τἀναντία στρέφειν Kehrt machen, umkehren.

που [1])· τοῦ δὲ ἀγαθοῦ στρατηγοῦ ἐστιν, ἐκ τῶν παρόντων διαγιγνώσκειν, εἰ ἄμεινόν ἐστι, μάχην ξυνάψαι ἢ τἀναντία στρέψαι. — 15. Οὕτω εἶχον οἱ ἔφοροι πρὸς τὸ πρᾶγμα, οὗ ἀρχηγὸς Κινάδων [2]), καὶ τὸ εἶδος νεανίσκος καὶ τὴν ψυχὴν εὔρωστος, ἐμεμήνυτο, ὥστε καὶ μοῖραν ἱππέων ἔπεμψαν τοῖς ἐπ' Αὐλῶνος. — 16. Τῷ Ἐπαμινώνδου σώματι συνέθαψαν οἱ Θηβαῖοι τὴν τῆς πόλεως δύναμιν. — 17. Ὁ Σεβῆρος τὰ πλεῖστα τοῦ βίου διέτριψεν ἐν τοῖς βασιλικοῖς προαστείοις καὶ τοῖς παραλίοις τῆς Καμπανίας, δικάζων τε καὶ πολιτευόμενος. — 18. Διατρίψας ἱκανοὺς χρόνους ἐν τῇ Ῥώμῃ ὁ Σεβῆρος ἐστράτευσεν ἐπὶ τὴν ἀνατολήν· ὁ δὲ τῶν Ἀρμενίων βασιλεὺς χρήματά τε αὐτῷ καὶ ὁμήρους ἱκετεύων ἔπεμψεν. — 19. Μετὰ τὸν τοῦ Ἀντωνίνου θάνατον Πομπηϊανός, ὃς πρεσβύτατος ἦν τῶν πατρώων φίλων καὶ κατ' ἐπιγαμίαν προσήκων τῷ Κομμόδῳ, πολὺν χρόνον λέγων διέτριψεν, ἵνα αὐτὸν τρέψαι τῶν κολακευόντων θεραπόντων· καὶ πρὸς ὀλίγον [3]) διέτρεψε τὸ μειράκιον. — 20. Χαιρεφῶν, ἐκ νέου ἑταῖρος ὢν τῷ Σωκράτει, διατέτριφε μετ' αὐτοῦ συχνὸν τοῦ βίου. — 21. Εὐφράνωρ, εἷς τῶν ὑστέρων ξυγγραφέων, τὴν ἐν Μαντινείᾳ πρὸς Ἐπαμινώνδαν ἱππομαχίαν οὐκ ἀνενθουσιάστως γέγραφεν. — 22. Ἔνιοι τῶν παλαιῶν μυθολόγων τοὺς δαίμονας εἰς πνεύματα καὶ ῥεύματα καὶ σπόρους καὶ ἀρότους καὶ πάθη γῆς καὶ μεταβολὰς ὡρῶν διαγεγράφασι καὶ τὴν φύσιν αὐτῶν διαλελύκασιν. — 23. Ὁ θεὸς τοῖς ἀνθρώποις τὸ μέλλον κεκάλυφεν· οἱ δὲ ἄνθρωποι χαλεπῶς φέροντες, τὸν θεὸν τὸ μέλλον κεκαλυφέναι, αὐτὸ ἐκκαλύψαι προθυμότατοί εἰσιν. — 24. Σαρδανάπαλος ὁ Ἀσσυρίων βασιλεὺς ἑαυτόν τε καὶ τὰ χρήματα ἐπὶ τὴν πυρὰν ῥίψας ταύτην ἐνῆψεν.

1) Auf jede Weise — unter allen Umständen. — 2) Dieser Kinadon hatte sich gegen die in Sparta bevorzugten Spartiaten verschworen. — 3) Auf kurze Zeit.

b. Verba gutturalia.

1. *Καλῶς πράξεις, εἰ τὸν θεὸν θεραπεύεις καὶ τοὺς γονέας ἐν τιμῇ ἕξεις.* — 2. *Οὐ νομίζω, ὑμᾶς ποτε ἐς τοσοῦτον*[1]) *ἀμελείας καὶ παροράσεως ἥξειν, ὥστε ἐπιτρέπειν τινὰ μὴ δίκαια.* — 3. *Ἀσιδάτης, Πέρσης ἀνήρ, ἀκούσας, ὅτι πάλιν ἐπ' αὐτὸν τεθυμένος εἴη Ξενοφῶν καὶ παντὶ τῷ στρατεύματι ἥξοι, ἐξαυλίζεται εἰς κώμας ὑπὸ τὸ Παρθένιον πόλισμα ἐχούσας*[2]). — 4. *Οἱ μὴ διαφυλάττοντες τὴν πρὸς τὸ θεῖον εὐσέβειαν πολὺ μᾶλλον οὐ διαφυλάξουσι τὰ πρὸς ἀνθρώπους δίκαια.* — 5. *Ἀναγράφει Σωκράτης τὴν Κακίαν πρὸς τὸν Ἡρακλέα λέγουσαν· ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ Ἀρετὴ ἄξει σε· ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε.* — 6. *Ἦν τὰ ἀγαθὰ καὶ τὰ καλὰ πράξῃς, ἅπαντές σοι χάριν ἕξουσιν οἱ ἀγαθοί.* — 7. *Πολλάκις ἤπιος μῦθος καὶ ἄφρονα ἄνδρα ἔθελξεν.* — 8. *Ὁ Κῦρος τοῖς τῶν Μιλησίων φυγάσιν, οἷ αὐτῷ ἐπίστευον, ἔλεγεν, ὅτι αὐτοὺς οὐκ ἄν ποτε ἐγκαταλείψοι, ἅπαξ αὐτοῖς φίλος ὤν, οὐδ' εἰ ἔτι καὶ κάκιον πράξειαν.* — 9. *Ἔνιοι διηγήματα παντοῖα πλάττουσι περὶ Θεμιστοκλέους, οἷον τὸν πατέρα αὐτὸν ἀποκηρῦξαι διὰ τὰς ἐν τῇ νεότητι ἁμαρτιάς.* — 10. *Ἀναγέγραφεν Ἡρόδοτος πάντα τὰ ἔθνη, ἃ σὺν τῷ Ξέρξῃ ἐστρατεύσαντο, καὶ τοὺς στρατηγούς, οἷ αὐτὰ διέταξαν.* — 11. *Ἐν τελευτῇ τοῦ βίου Καμβύσης, ὁ Περσῶν βασιλεύς*[3]), *συλλέξας τοὺς γεραιτέρους Περσῶν καὶ τὰς ἀρχὰς καὶ τὸν Κῦρον ἔλεξεν, ὅσα αὐτὸς ἀγαθὰ εἶναι ἐγίγνωσκεν.* — 12. *Πολλοὶ μὲν ἄνθρωποι μαστεύουσι τὸν πλοῦτον, ὀλίγοι δὲ αὐτοῦ, ἐὰν διαπράξωσιν, ἃ μεμαστεύκασιν, ἀπολαύ-*

---

1) Eo negligentiae. — 2) ἔχειν ὑπό τι zu etwas gehören. — 3) Nach Xenophons Erzählung von Kyros d. älteren.

σουσιν, ἀλλὰ κατορύξουσι κατὰ τῆς γῆς ἢ διαφυλάξουσιν ὡς ἄθικτον. — 13. Μετὰ τὴν Βαβυλῶνος ἅλωσιν Κῦρος τοὺς κήρυκας κηρῦξαι ἐκέλευσεν, ἀποφέρειν πάντας τὰ ὅπλα Βαβυλωνίους. — 14. Ἡρακλῆς τὸν ἐν Νεμέᾳ λέοντα τοῖς βραχίοσιν ἀπέπνιξε, τὸν αὐχένα σφίγξας. — 15. Μίνως ὁ ἐν Ἅιδου δικαστὴς ἀπέπεμπε τοὺς πονηροὺς ἐς τὸν τῶν ἀσεβῶν χῶρον, δίκην ὑφέξοντας κατ' ἀξίαν τῶν ἀδικημάτων. — 16. Ἀλέξανδρος τοὺς τὸν Δαρεῖον πεφονευκότας διώξας μυρίους σταδίους νυκτὸς καὶ ἡμέρας διεπορεύθη ἐφ' ἵππου. — 17. Θεὸς ἔν τε τῇ φύσει καὶ ἐν τοῖς τῶν ἀνθρώπων πάντα ἄριστα διατέταχεν. — 18. Φίλιππος ὁ Μακεδὼν οὐκ ἂν τοσοῦτον χρόνον τοὺς Ἀθηναίους ἐβεβλάφει, εἰ μείζονι ἐνεργείᾳ καὶ ὁμονοίᾳ ἐπεπράχεσαν. — 19. Εὐδύδημον νομίζοντα, οὐκ εὖ πράξειν καὶ ἀνὴρ ἀξιόλογος ἔσεσθαι, εἰ μὴ ὅτι μάλιστα [1]) Σωκράτει συνείη, οὗτος οὐδὲν διατετάραχεν, ἁπλούστατά τε καὶ σαφέστατα ἀγορεύων, ἅ τε ἐπιτηδεύειν κράτιστα εἶναι ἐνόμιζεν. — 20. Ἡρόδοτος, ὃν καλῶς τῆς ἱστορίας πατέρα προσαγορεύομεν, τοὺς τῶν Ἑλλήνων πρὸς τοὺς Μήδους πολέμους ξυνέγραψε καὶ τὰ τῶν ἄλλων ἐθνῶν τὰ πρότερον ἐμμελῶς ἐνέπλεξεν. — 21. Φυλάξω ἐγὼ τὸν στέφανον κισσοῦ, ὃν σὺ ἐνέπλεξας κάλυξι καὶ εὐόδμοις σελίνοις. — 22. Ἐπεὶ οἱ τῶν Ἀθηναίων στρατηγοὶ ἐν Ῥηγίῳ τῆς Ἰταλίας ἀκρωτηρίῳ πρὸς τὰ παρόντα ἐβουλεύοντο, Νικίου γνώμη ἦν, ἐπὶ Σελινοῦντα πάσῃ τῇ στρατιᾷ στρατεύσασθαι καὶ Σελινουντίους ἢ βίᾳ ἢ ξυμβάσει διαλλάξαι αὐτοῖς. — 23. Λακεδαιμόνιοι μέγιστα πολλάκις παρέπιπτον ἐν τῷ διαλλάξαι κατ' ἐνιαυτὸν τοὺς ναυάρχους, τοὺς μὲν ἀνεπιτηδείους καὶ θαλάττης ἀπείρους πέμποντες, τοὺς δὲ ἐμπείρους

---

1) So viel als möglich; ὅτι, wie ὡς, verstärkt den Superlativ (quam im Latein.). — 2) In dem Feldzuge gegen Sicilien. —

καὶ ἐπιτηδείους τῆς ἀρχῆς παύοντες. — 24. Ἐπεὶ ὁ Περικλῆς τὴν ἑταιρείαν, ἣν Θουκυδίδης αὐτῷ ἀντετετάχει, κατέλυσε καὶ τὴν τῆς πόλεως δύναμιν ὑπηκόοις ἔθνεσι καὶ φιλίαις βασιλέων καὶ συμμαχίαις δυναστῶν ἔφραξεν, οὐκεθ' ὁ αὐτὸς ἦν, οὐδ' ὁμοίως χειροήθης τῷ δήμῳ, ἀλλὰ πολλάκις ἄκοντα πρὸς τὸ βέλτιστον ἦγεν. —

c. Verba lingualia.

1. Πρῶτον μὲν ὁ ἱερεὺς τὰς θυσίας σφάξει, ἔπειτα δὲ τοῖς θεοῖς σπείσει. — 2. Οἱ χρησιοὶ ἄνθρωποι οὐ μόνον περὶ τῶν παρόντων ἐφρόντισαν [1]), ἀλλὰ καὶ τοῖς ἐκγόνοις ἐφύτευσαν. — 3. Μὴ νομίσῃς, ὦ ἠλίθιε, τὸν πλοῦτόν σοι δόξαν παρ' ἄλλοις παρασκευάσειν. — 4. Αἱ ἀρχαὶ κολάσουσι τοὺς ἐν τοῖς πολιτείαις νεωτερίσοντας. — 5. Λέγουσι, Δεινοκράτην κτίσαι Ἀλεξάνδρειαν κατὰ τὸ σχῆμα χλαμύδος Μακεδονικῆς. — 6. Εἰ ὁ στρατηγὸς μὴ κωλύει, τοὺς στρατιώτας ἄλλους μὴ ὑβρίσαι, αὐτὸν ταχὺ ὑβρίσαιεν ἄν. — 7. Ἐν τῷ μέσῳ τοῦ Βυζαντίου καὶ Ἡρακλείας ἄλλη μὲν πόλις οὐδεμία οὔτε φιλία οὔτε Ἑλληνίς, ἀλλὰ Θρᾷκες οἱ Βιθυνοί· οἱ δὲ οὓς ἂν λαμβάνοιεν τῶν Ἑλλήνων δεινὰ ὕβρισαν. — 8. Ἀναξίβιος ὁ ναύαρχος Ξενοφῶντα ἐκέλευσε πάσῃ τέχνῃ καὶ μηχανῇ συναθροῖσαι ὡς τάχιστα τὸ στράτευμα καὶ διαβιβάσαι εἰς Ἀσίαν· ὁ δὲ Φαρνάβαζος, βασιλέως σατράπης, χρήμασιν Ἀρίσταρχον ἔπεισεν, τοῖς ναυκλήροις ἀπαγορεῦσα μὴ διάγειν τὸ στράτευμα. — 9. Ἐν τῇ ὑπερβολῇ τῶν ὀρῶν τῶν εἰς τὸ πεδίον δύο λόχους τοῦ Μένωνος στρατεύματος [2]) οἱ Κίλικες κατέκοψαν· οἱ δ' ἄλλοι, ἐπειδὴ ἥκοντες ταῦτ' ἤκουσαν, τήν τε πόλιν τοὺς Ταρσοὺς διήρπασαν καὶ τὰ βασίλεια

---

1) Pflegen zu. — 2) στράτευμα hier Heerhaufen, ein Theil des dem jüngeren Kyros folgenden helleniſchen Heeres.

τὰ ἐν αὐτῇ. — 10. *Πρὸς ἁπάσας τὰς τοῦ βίου περιστάσεις χρησιμωτάτην δικαίως ἄν τις νομίσειε τὴν τῆς ἱστορίας μάθησιν.* — 11. *Γάϊος Ἰούλιος Καῖσαρ τὰ πλεῖστα καὶ μαχιμώτατα τῶν Κελτῶν ἔθνη ὑποτάξας τῇ τῶν Ῥωμαίων ἀρχῇ προὐβίβασε τὴν ἡγεμονίαν τῆς Ῥώμης μέχρι τῶν Βρεττανικῶν νήσων.* — 12. *Λέγει ὁ μῦθος, Σίδην τὴν Ὠρίωνος γυναῖκα ἐρίσαι ποτὲ περὶ μορφῆς τῇ Ἥρᾳ, τὴν δὲ ἐκείνην ἐς Ἅιδου ῥίψαι.* — 13. *Ζεὺς δεινότατα ἐκόλασε τὸν Προμηθέα διὰ τὸ*) κλέψαι τὸ πῦρ παρὰ θεῶν ἐν νάρθηκι καὶ κομίσαι ἐς ἀνθρώπους.* — 14. *Μέχρι τῶν Μηδικῶν πολέμων τοῖς Ἕλλησιν ἡ μεθ' ὅπλων δίαιτα ξυνήθης ἦν, ὥστε καὶ τοὺς γεωργοὺς ὅπλα φέρειν εἰς ἄρουραν, ἵνα αὐτὰ ἁρπάσειαν, εἰ λησταὶ πλησιάσειαν.* — 15. *Ἦν σύ, ὦ ἄνθρωπε, κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσει· δίκασον τὸν ἁμαρτάνοντα δικαίως μέν, ἀλλὰ καὶ ἠπίως, ἵνα καὶ οἱ ἄλλοι σὲ δικάσωσιν ἠπίως.* — 16. *Ἡ Πυθία ἐκέλευσε τοὺς ἐν Λήμνῳ Πελασγοὺς Ἀθηναίοις τὰς δίκας τίνειν ταύτας, ἃς ἂν αὐτοὶ Ἀθηναῖοι δικάσωσιν.* — 17. *Μὴ δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς.* — 18. *Τοῖς Ἕλλησιν ἐν Κάλπης λιμένι ἐπὶ τῇ ἀφόδῳ θυομένοις τῶν ἱερῶν αἰσίων οὐκ ὄντων, ἔλεγόν τινες, ὡς ὁ Ξενοφῶν, ἐθέλων τὸ χωρίον οἰκίσαι, πέπεικε τὸν μάντιν λέγειν, ὡς τὰ ἱερὰ οὐκ ἐστιν ἐπὶ ἀφόδῳ.* — 19. *Οἱ Ἀθηναῖοι πολὺν χρόνον ἐσπουδάκασι, ταῖς τῆς Ἀσίας νήσοις τὴν ἐλευθερίαν καὶ αὐτονομίαν πρᾶξαι.* — 20. *Πρὸς Ἀριστόδημον οὔτε θύοντα τοῖς θεοῖς οὔτε τὰ πρὸς ἀνθρώπους διαφυλάττοντα Σωκράτης προτρέψων ἐπ' ἀρετὴν ἔλεξεν· Λέξον ἐμοὶ τὰ ὀνόματα τῶν ἀνθρώπων, οὓς τεθαύμακας*

---

*) Die Inf. mit dem Art. werden wie Subst. behandelt „wegen des Stehlens"; man kann aber diese Construction gewöhnlich besser mit einer Conjunction auflösen „weil".

ἐπὶ σοφίᾳ. — 21 Ἔγωγε ἐπὶ μὲν ἐπῶν ποιήσει Ὅμηρον μάλιστα τεθαύμακα, ἐπὶ δὲ διθυράμβῳ Μελανιππίδην, ἐπὶ δὲ τραγῳδίᾳ Σοφοκλέα, ἐπὶ δὲ ἀνδριαντοποιΐᾳ Πολύκλειτον, ἐπὶ δὲ ζωγραφίᾳ Ζεῦξιν. — 22. Οἱ τῶν Ἀθηναίων στρατιῶται οἱ ἐν Σάμῳ τὸ μὲν πρῶτον οὐκ ἤθελον ἀκούειν τῶν πρεσβευτῶν, οὓς οἱ τετρακόσιοι [1]) ἔπεμψαν ἐξ Ἀθηνῶν, ἀλλ' ἀποκτείνειν ἔκραζον τοὺς τὸν δῆμον καταλύοντας· ἔπειτα μέντοι μόλις ἡσυχάσαντες ἤκουσαν. — 23. Τῆς πολιτείας μέγα ἔγκλημα τοῦ Περικλέους ὁ πόλεμος ὁ πρὸς Πελοποννησίους· λέγουσι γὰρ αὐτὸν ἐπακτὸν εἶναι ὑπ' ἐκείνου ἐρίσαντος Λακεδαιμονίοις μὴ ὑπείκειν· ἀλλὰ τίς πεπείκοι ἂν αὐτὸν ὑπείκειν ἄνευ μάχης τοῖς ἐναντίοις; — 24. Τῶν μὲν μεγάλων πόλεων, εἴ τι καλὸν ἔπραξαν, ἅπαντες οἱ συγγραφεῖς μνημονεύουσιν· εἰ δέ τις μικρὰ πόλις οὖσα ἔσπευκε τὰ κάλλιστα διαπράττειν, ἔτι μᾶλλον ἄξιόν ἐστι ἀποφαίνειν. Οἱ γὰρ Φλιάσιοι, εἰ καὶ οἵ τε Ἀργεῖοι, ἐπιτετειχικότες ἐν τῷ Φλιοῦντι τὸ ὑπὲρ τοῦ Ἡραίου Τρικάρανον, καὶ οἱ Σικυώνιοι, ἐπὶ τοῖς ὁρίοις αὐτῶν τειχίζοντες τὴν Θυαμίαν, μάλα αὐτοὺς ἐπίεζον, ὥστε σπανίσαι τῶν ἐπιτηδείων, ὅμως διεφύλαξαν τὴν σὺν Λακεδαιμονίοις συμμαχίαν [2]). —

3. Tempora Secunda,

d. h. ſolche, die vom reinen Stamme gebildet werden.

1. Κικέρων, τῷ τε τῆς πατρίδος ἔρωτι καὶ τῇ τοῦ λέγειν δεινότητι καὶ τῇ τῆς Ἑλληνικῆς φιλοσοφίας ἐμπειρίᾳ ἐπισημότατος τῶν Ῥωμαίων, πολλὰ γράμματα

1) Eine Behörde von 400 Athenern, die im Jahre 411 als die oberſte Gewalt eingeſetzt war. — 2) Es geſchah dies in den auf die Schlacht bei Leuktra folgenden Kriegen.

καταλέλοιπεν. — 2. Οὐχ οἷόν τέ ἐστι, μακρὸν πλοῦν κινδυνεύειν, εἰ τὰ δόρατα τῶν νεῶν σέσηπεν. — 3. Οἱ μὲν ὑπὲρ τῆς πατρίδος πόνους φέρειν πεφευγότες οὐ καλῶς πεπράγασιν, οἱ δὲ πάντα κίνδυνον ὑπὲρ αὐτῆς ὑφέξοντες καλῶς πράξουσιν. — 4. Καίπερ τοῦ Κύρου κακῶς πεπραγότος, οἱ Ἕλληνες τοὺς βαρβάρους εἰς φυγὴν ἔτρεψαν καὶ τοὺς πεφευγότας συνεχῶς ἐδίωξαν. — 5. Οὐδὲν αἴσχιον ἂν εἴη τῷ στρατιώτῃ, ἢ πεφευγέναι καὶ τὰς τάξεις ἀπολελοιπέναι. — 6. Ὅτε Ξέρξης ἐκ τῶν Θερμοπυλῶν ἐπὶ τὴν Φωκέων χώραν προῆγεν, οἱ Φωκεῖς τὰς μὲν πόλεις ἁπάσας ἐξέλιπον πανδημεί, πρὸς δὲ τὰς δυσχωρίας τὰς ἐν τῷ Παρνασσῷ κατέφυγον. — 7. Αἰήτης ἀκούσας, τὸν Ἰάσονα νυκτὸς τὸ χρυσοῦν δέρας τὸν φυλάσσοντα δράκοντα κατακοιμίσαντα κλέψαι καὶ σὺν τῇ θυγατρὶ Μηδείᾳ ἀποφυγεῖν, ἐδίωξε τὴν ναῦν· αὐτοῦ δὲ τοῖς ἀποφυγοῦσι πλησιάζοντος, Μήδεια τὸν ἀδελφὸν Ἄψυρτον ἐφόνευσε καὶ μελίσασα κατὰ βυθοῦ ἔρριψε· τοῦ δὲ Αἰήτου τὰ τοῦ παιδὸς μεμελισμένα μέλη συναθροίσαντος, οἱ Ἀργοναῦται τὴν δίωξιν ἐξέφυγον. — 8. Ὥςπερ ὁ ἥλιος, οὐχ ὅταν διαφύγῃ τὰ νέφη, λαμπρός ἐστιν, ἀλλ' ἔστι μὲν ἀεί, τὴν δὲ λαμπρότητα αὐτοῦ τὰ νέφη ἐπικρύπτει· οὕτω πάντα μὲν τὰ τῆς φύσεως σαφῆ καὶ δῆλα, ἄλλοις δέ τισι χρήμασι τὴν τῶν βλεπόντων ξύνεσιν φεύγει. — 9. Εἴ τινες τῶν Ἀθηναίων τὴν νόσον*) διαφύγοιεν, οἱ πολλοὶ ὕστερον δι' αὐτὴν ἀσθενείᾳ συνέπιπτον. — 10. Μετὰ τὸν εἰς Πόντον πλοῦν ὁ Περικλῆς τοῖς Σινωπεῦσι τριςκαίδεκα ναῦς ἀπέλιπε μετὰ Λαμάχου καὶ στρατιώτας ἐπὶ Τιμησίλεων τύραννον. — 11. Μετὰ τὴν τοῦ Περικλέους εἰς Ἀκαρνανίαν στρατείαν, διαλιπόντων τριῶν ἐτῶν, σπονδαὶ Πελοποννησίοις καὶ Ἀθη-

*) Die Pest in Athen zu Anfang des peloponnes. Krieges, vorzugsweise „die Krankheit" genannt.

ναίοις πενταετεῖς γίγνονται. — 12. Διαβιβάσων τὸν στρατὸν ὑπὲρ τὸν Ὑδάσπην ὁ Ἀλέξανδρος παρὰ πᾶσαν τὴν ὄχθην φυλακὰς εἶναι ἐκέλευσεν, διαλιπούσας ὅσον ξύμμετρον εἰς ἀκούειν ἀλλήλων εὐπετῶς, καὶ πυρὰ πολλὰ καίεσθαι, ἵνα ἡ ἀποχώρησις φύγῃ τοὺς πολεμίους. — 13. Οἱ ἐχθροὶ τοῦ Σωκράτους, ἵνα αὐτοῦ τὴν δριμύτητα τῆς ἐξετάσεως ἐφυβρίσαιεν, ἔλεγον, αὐτὸν ψύλλης τὼ πόδε εἰς κηρὸν τετηκότα ἐμβάψαι, ὅπως διορίσειεν, ὁπόσους τοὺς αὐτῆς πόδας ἔχοι τὸ ἅλμα τῆς ψύλλης. — 14. Ξέρξης διὰ τῆς Βοιωτίας προάγων τὰς Πλαταιὰς ἐρήμους οὔσας κατέλυσεν· οἱ γὰρ Πλαταιεῖς ἐπεφεύγεσαν εἰς Πελοπόννησον πανδημεί. — 15. Τὰς συμφορὰς τῶν κακῶς πεπραγότων ὑβρίσαι, οὐκ ἀνδρὸς χρηστοῦ ἐστιν. — 16. Ὁ Περικλῆς τὸν περὶ τῶν νόθων νόμον, ὃν πρότερον αὐτὸς ἐγεγράφει, λυθῆναι [1]) ἔγραψεν, ὡς μὴ παντάπασιν ἐρημίᾳ διαδοχῆς τὸν οἶκον ἐκλίποι τοὔνομα καὶ τὸ γένος. — 17. Εὔπολις ὁ κωμικὸς λέγει περὶ Περικλέους, ὅτι μόνος τῶν ῥητόριον ἐγκατέλιπέ τι κέντρον τοῖς ἀκούουσιν. — 18. Νιόβη, τῶν παίδων καὶ θυγατέρων ὑπὸ τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος κατατοξευθέντων, Θήβας καταλιποῦσα πρὸς τὸν πατέρα Τάνταλον ἦκεν εἰς Σίπυλον, καὶ ἐτετήκει δακρύουσα, ὥστε τὴν μορφὴν εἰς λίθον μεταλλάττεσθαι. — 19. Ἀλέξανδρος [2]) τῷ ἰῷ τοξεύσας τὸν Διομήδη ἔλεξεν· Εἰ μὴ ἐκφύγοις τοῦτο τὸ βέλος, ἀνακράγοιεν ἂν οἱ Τρῶες· οὗτοι γάρ σε πεφρίκασιν, ὡς λέοντα μηκάδες αἶγες. — 20. Κορνηλία τῷ παιδὶ, τῷ Γράκχῳ οὕτως ἔστοργεν, ὥστε αὐτῷ κάλ-

---

1) Es ſolle aufgehoben werden; dies Geſetz verlangte nämlich, daß ein ebenbürtiger Bürger Athens von einem Athener und einer Athenerinn abſtamme. Durch die Peſt verlor Perikles ſeine Söhne aus erſter Ehe (mit einer atheniſchen Bürgerinn), die Aſpaſia, ſeine zweite Frau, war aber keine athen. Bürgerinn. 2) gewöhnlich Paris genannt.

λιστα κειμήλια προσαγορεῦσαι. — 21. Κόσμος ἔστω ἀεὶ τοῖς παισίν, ἐστοργέναι τοὺς γονέας. — 22. Ξέρξης ἄγαν ἐπεποίθει τῷ τῆς δυνάμεως μεγέθει· αὐτοῦ τῷ παραδείγματι γιγνώσκομεν, ὡς ἄφρων ἐστὶν ὁ μὴ τῷ θείῳ, ἀλλὰ τῷ πλούτῳ καὶ τῇ δυνάμει πεποιθώς. — 23. Τῇ τοῦ Θεμιστοκλέους βουλῇ καὶ γνώμῃ πεποιθότες οἱ Ἀθηναῖοι τὴν πόλιν κατελελοίπεσαν καὶ εἰς τὰς ναῦς ἀπεπεφύγεσαν. — 24. Δαίδαλος, ἀρχιτέκτων ὤν, ἐν Κρήτῃ κατεσκεύασε Λαβύρινθον, πεφευγὼς ἐξ Ἀθηνῶν ἐπὶ φόνῳ. —

4. Abweichungen von der regelmäßigen Bildung.

a) Verba auf σσω mit *T*-Laut, auf ζω mit *K*-Laut.

1. Ἑλένη ἐν μεγάρῳ ὑφαίνουσα δίπλακα μαρμαρᾶν, πολλοὺς ἄθλους Τρώων ἱπποδάμων καὶ Ἀχαίων χαλκοχιτώνων ἐνέπλασεν. — 2. Λέγει ὁ μῦθος, ἐρίσαι ποτὲ Ἀθηνᾶν καὶ Ποσειδῶνα καὶ Ἥφαιστον περὶ εὐτεχνίας, καὶ τὸν μὲν Ποσειδῶ ταῦρόν τινα ἀναπλάσαι, τὴν δὲ Ἀθηνᾶν οἰκίαν κατασκευάσαι, τὸν δὲ Ἥφαιστον ἄνθρωπον κτίσαι. — 3. Ὀδυσσεύς, ἐπεὶ ὁ κεραυνὸς πλήξας τὴν ναῦν διέσχισε, τὴν τρόπιν καὶ τὸν ἱστὸν δεσμεύσας ἐπὶ τούτοις ἤρεσε χερσὶν ἀμφοτεραῖς. — 4. Ὁ μυθικὸς Φοίνιξ γραμμὰς ἔχει μελαίνας καὶ μεταξὺ τούτων κυανέαις σταγόσι κατέστικται. — 5. Οἱ Χαλδαῖοι μισθοῦ*) ἐστρατεύοντο σὺν τῷ Κύρῳ· ὡς δὲ ἐπλησίαζον οἱ Ἀρμένιοι, τῶν Χαλδαίων οἱ παρόντες ταχὺ ἀλαλάξαντες ἔτρεχον ἐπ' αὐτούς, οἱ δὲ Ἀρμένιοι ἔφευγον. — 6. Οἱ Ἕλληνες ἐπεὶ ἐπαιάνισαν καὶ ὁ σάλπιγξ ἐσάλπιγξεν, ἅμα τε τῷ Ἐνυαλίῳ ἠλάλαξαν καὶ ἔτρεχον

*) Um Sold.

δρόμῳ ἐπὶ τοὺς βαρβάρους, τοξεύοντές τε καὶ ἀκοντίζοντες καὶ λίθους βάλλοντες. — 7. Δημῶναξ ὁ φιλόσοφος μάλιστα ἐπέπληξε τοῖς οὐ πρὸς ἀλήθειαν, ἀλλὰ πρὸς ἐπίδειξιν φιλοσόφοις· πρὸς ἕνα οὖν Κυνικόν, τρίβωνα μὲν καὶ πήραν ἔχοντα, ἀντὶ δὲ τῆς βακτηρίας ὕπερον ὑπέρογκον, κεκραγότα καὶ λέγοντα, ὅτι Ἀντισθένους καὶ Κράτητος καὶ Διογένους ἐστὶ ζηλωτής, ἔλεξεν· Μὴ ψεύδου, σὺ γὰρ Ὑπερίδου[1]) μαθητὴς εἶ. — 8. Αἰσχίνης, τῷ Δημοσθένει ἔχθιστος, ἐκεκράγει, ὡς Δημοσθένης τοὺς κακῶς πεπραγότας τῶν πολιτῶν ὑβρίζοι καὶ ἐπ' οἰκίας βαδίζοι ἄνευ ψηφίσματος. — 9. Τὸν τοῦ παιδὸς θάνατον ἀκουσάσης μητρὸς δάκρυα κατέσταξαν τὰ μὲν κατὰ τῶν πέπλων, τὰ δὲ καὶ ἐπὶ τοὺς πόδας. — 10. Συνάψαντες τὴν μάχην ἀνέκραγον οἱ στρατῶται. — 11. Οἱ δεσπόται τοὺς οἰκέτας ἐμάστιξαν ἀπειθεῖς ὄντας. — 12. Οἱ νεοττοὶ τῶν χελιδόνων τετρίγασιν. — 13. Αἱ φρενῶν ταραχαὶ παρέπλαγξαν καὶ σοφόν. — 14. Ὀδυσσεὺς ἔπλασεν, ὅτι αἱ θύελλαι αὐτὸν ἀπὸ Μαλέας ἄκρας εἰς Κρήτην παραπλάγξαιεν. — 15. Ἔκλαγξαν ὀϊστοὶ ἐπ' ὤμων τοῦ Ἀπόλλωνος μηνίσαντος καὶ τὸν ἐχθρὸν διώξαντος. — 16. Οἱ κατήγοροι ἐκεκλάγγεισαν, ὡς κολάσειεν οἱ δικασταὶ τὸν κλέπτην. — 17. Κῦρος ὁ δεύτερος ἐκέλευσεν ἐν ἐξετάσει τῶν στρατιωτῶν τοὺς Ἕλληνας προελαύνειν, ἐπεὶ ὁ σαλπιγκτὴς ἐσάλπιγξεν, οἱ δὲ βάρβαροι ὅλην τὴν φάλαγγα προελαύνουσαν θαυμάζοντες ἔφυγον αὐτούς, ὡς[2]) πολεμίους ὄντας. — 18. Ὀδυσσεὺς τὸ μὲν μέγα τόξον χερσὶν ἐβάστασε, τὸν δὲ φόνον τῶν μνηστήρων φρενί. — 19. Εἰ μή τις ὑποστηρίξειε τοὺς γόμφους, ἡ ναῦς ἂν διαλύοιτο. —

---

1) Es liegt darin ein Wortspiel mit ὕπερον. 2) „Als ob sie Feinde wären".

b) Verba mit dem Umlaut o im Perf. I.

1. Ὁ στρατηγὸς ἀναγκάσει τοὺς στρατιώτας ἀποτίνειν ἃ ἂν κεκλόφωσιν τῶν πολιτῶν. — 2. Οἱ Λακεδαιμόνιοι παῖδας τοὺς κρύφα τι κεκλοφότας ἐθαύμαζον, τοὺς δὲ μὴ κρύφα κεκλοφότας ἐμάστιζον. — 3. Οἱ Σάμιοι, ἐπεὶ Πισσούθνης αὐτοῖς τοὺς ὁμήρους [1]) ἐξεκεκλόφει καὶ τἆλλα παρεσκευάκει πρὸς τὸν πόλεμον, αὖθις τὴν πρὸς τοὺς Ἀθηναίους μάχην ἐκινδύνευσαν. — 4. Ἀγησίλαος, ὃν οἱ Λακεδαιμόνιοι ἐπὶ τοὺς Ἀκαρνᾶνας ἐξεπεπόμφεσαν, ἔπεμψεν ἐς Σρατὸν παρὰ τὸ κοινὸν τῶν Ἀκαρνάνων, λέγων, ὡς, εἰ μὴ παύσαιντο τῆς πρὸς Βοιωτοὺς καὶ Ἀθηναίους ξυμμαχίας, ἀνατρέψοι πᾶσαν τὴν γῆν αὐτῶν καὶ παραλείψοι οὐδέν. — 5. Οἱ πρέσβεις, οὓς ἐπὶ τῷ πολέμῳ οἱ Μυτιληναῖοι ἐξεπεπόμφεσαν, ὡς αὐτοὺς οἱ Λακεδαιμόνιοι ἐκέλευσαν Ὀλυμπίαζε παρεῖναι, ὅπως καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἥκουσιν ἐς τὴν Ὀλυμπίαν. — 6. Λέγουσι, Κροῖσον πεπομφέναι εἰς Λακεδαίμονα περὶ ξυμμαχίας ἐπὶ Κῦρον. — 7. Μήδοκος, βασιλεὺς Ὀδρυσῶν, τέτροφε Σεύθην, ὀρφανὸν ὄντα, τὸν τοῦ Μαισάδου τοῦ τῶν Ὀδρυσῶν πρότερον βασιλέως. — 8. Ἐπειδὰν αἱ μέλισσαι τοὺς νεοττοὺς ἐκτετρόφωσιν, ἡ ἡγεμὼν ἀποικίζει αὐτοὺς σὺν τῶν ἐπιγόνων τινὶ ἡγεμόνι. — 9. Ἡρακλῆς εἰς κάθαρσιν τῶν Αὐγέου βοσκημάτων τὸν Ἀλφειὸν ποταμὸν καὶ τὸν Πηνειὸν ἐκτέτροφεν. — 10. Ἐν τοῖς καλουμένοις τῶν Ἑλλήνων σοφοῖς Πλάτων ὁ Ἀρίστωνος ἀντὶ Περιάνδρου τοῦ Κυψέλου Μύσωνα κατείλοχε τὸν Χηνέα [2]). — 11. Ἡρόδοτος ὀνομαστὶ τὰς πόλεις, ὅσας τῶν ἐν Ἑλλάδι πυρὶ κατέλυσε βασιλεὺς Ξέρξης, κατείλοχεν. —

---

1) welche sie den Athenern hatten geben müssen. 2) Chenä war ein Dorf auf dem Berge Oeta.

5. Futurum Atticum.

1. *Πολλοὶ ἄνθρωποι ἐλπίζουσι, τὴν τύχην αὐτοῖς θησαυροὺς ποριεῖν.* — 2. *Αἰσχίνης ἐμήνυσε τοῖς πολίταις, Φίλιππον τὸν βασιλέα τὰς Θεσπιὰς καὶ Πλαταιὰς περιτειχιεῖν καὶ τὴν τῶν Θηβαίων ὕβριν καταλύσειν.* — 3. *Ἦ νομιεῖτε, ὦ ὀκνηροί, ὅτι πολὺς πόνος τὸ σῶμα βλάψει καὶ τὴν ὑγίειαν ταράξει;* — 4. *Ἦ νομιοῦμεν ἐλάττους κακούργους τοὺς τῆς πατρίδος προδότας ἢ ἀνδροφόνους καὶ ἱεροσύλους;* — 5. *Οἱ μὲν πολλοὶ μακαριοῦσι τοὺς πλουσίους καὶ τοὺς ἐντίμους, ἡμεῖς δὲ τοὺς ἀνθρώπους μακαριοῦμεν, καθ' ὅσον ἐπιθυμιῶν ἐλεύθερυι καὶ σώφρονές εἰσιν.* — 6. *Εἰ κατοικιεῖς πόλιν, κατοίκισον αὐτὴν εἰς τοιοῦτον τόπον, ὃς ἐπεισαγωγίμων μὴ ἐλλείψει· οὐδὲν γὰρ ἐλλείψει αὐτῶν, οἳ ἐξ ἄλλων πόλεων καὶ χωρῶν κομιοῦσι τὰ ἐπιτήδεια.* — 7. *Τηλεμάχῳ Πείραιον τὸν ἑταῖρον κελεύσαντι, εὖ ξενίζειν Θεοκλύμενον τὸν μάντιν, οὗτος ἔλεξε· Τόνδε ἐγὼ κομιῶ, ξενίων δὲ οἱ οὐ ποθὴ ἔσται.* — 8. *Εἰ μὲν πολέμου φροντιεῖς, τὸν σαυτοῦ βίον καὶ τὸν ἄλλων ταράξεις· εἰ δ' εἰρήνης φροντιεῖς, σαυτῷ τε καὶ τοῖς ἄλλοις πολλὰ ξυμφέροντα ποριεῖς.* — 9. *Ἐν ἀρχῇ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας Διονύσιος ὁ Ἁλικαρνασσεὺς λέγει, τὴν [1]) τῶν Ῥωμαϊκῶν [2]) ἀφήγησιν καταβιβᾶν ἐπὶ τὴν ἀρχὴν τοῦ πρώτου Φοινικοῦ πολέμου.* — 10. *Ἀνὴρ ἐν τοῖς Μήδοις ἦν σοφός, ᾧ τοὔνομα ἦν Δηϊόκης· ὁ μὲν οὖν, πολλῆς ἀνομίας οὔσης ἀνὰ πᾶσαν τὴν Μηδικήν, κατὰ τὸ ὀρθὸν αὐτὸς ἐδίκασε· παμπόλλων δὲ πρὸς αὐτὸν ἡκόντων, ὡς αὐτοῖς δικάσειεν, οὔτε καθίζειν ἔτι ἤθελεν, οὔπερ πρότερον προκαθίζων ἐδίκαζεν, οὔτε ἔλεγε δικᾶν ἔτι. Μετὰ ταῦτα οὖν οἱ τοῦ Δηϊόκου φίλοι τοὺς ἄλλους ἔπεισαν ἑαυτοὺς βασι-*

---

1) seine. 2) τὰ Ῥωμαϊκά die römische Geschichte.

λεύεσθαι[1]). Οὕτως ἀνηγορεύθη ὁ Ληϊόκης ὡς[2]) βασιλεύσων καὶ ἀεὶ δικῶν τοῖς Μήδοις. — 11. Πολυνείκης, ὁ τοῦ Οἰδίποδος, εἰς τὴν πατρίδα ἦκε ναοὺς τῶν θεῶν κατασκάψων καὶ νόμους διασκεδῶν. — 12. Οὗτοι οἱ ὀλίγοι ἀνδρεῖοι ἱππεῖς διασκεδῶσι τὸν ὄχλον τῶν δειλῶν βαρβάρων. —

13. Τί δῆτ'[3]) ἔτερψας, ὦ τάλαινά με
ἐλπὶς τότ', οὐ μέλλουσα διατελεῖν χάριν; —

14. Φίλιππος, γελωτοποιός τις, ἐπεὶ ἐν τῷ δείπνῳ γέλωτα οὐ παρεῖχε τοῖς ἄλλοις, ἐπαύσατο τοῦ δείπνου λέγων· Τίνος ἕνεκα καὶ καλεῖ μέ τις; ὁ γέλως γὰρ ἐξ ἀνθρώπων ἐκλέλοιπεν. — 15. Κροῖσος ὁ Λυδὸς ἔπειθε τὸν Κῦρον μὴ στρατεύειν εἰς τοὺς Μασσαγέτας, λέγων· Εἰ σὺ μὲν ἥττων ἔσει, οἱ Μασσαγέται ἐπ' ἀρχὰς τὰς σὰς ἐλῶσιν, εἰ δ' ἐκεῖνοι ἥσσους ἔσονται, σὺ ἐλᾷς εἰς γῆν ἄκαρπον καὶ ἔρημον. — 16. Σεύθης ὁ Θρᾷξ Ἕλλησι τοῖς μετ' αὐτοῦ στρατευσαμένοις διεσκέδασε τὰ προσήκοντα καὶ τοὺς ταῦτα ἐλῶντας συνέπεμψεν. —

B. Medium.

1. Tempora mit unverändertem Präsensstamme.

1. Λάμων, ἄκρος ὢν σοφιστής, κατεδύετο μὲν εἰς τὸ τῆς μουσικῆς ὄνομα, πρὸς τοὺς πολλοὺς ἐπικρυπτόμενος τὴν δεινότητα, τῷ δὲ Περικλεῖ συνῆν καθάπερ ἀθλητῇ τῶν πολιτικῶν ἀλείπτης καὶ διδάσκαλος. — 2. Οὐ τὸ πένεσθαι αἰσχρόν, ἀλλὰ τὸ διὰ αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος. — 3. Οἱ πάλαι Ἀθηναῖοι ἁλουργῇ ἠμπείχοντο ἱμάτια, ποικίλους δὲ ἐνέδυνον χι-

---

1) Sie sollten sich regieren lassen von einem Könige. — 2) Bezeichnet die Absicht, in der dies geschah. — 3) Warum doch —; nach μέλλειν Inf. Fut.

τῶνας. — 4. Ἄνθρωπος, εἰ πρὸς χρηματισμὸν τρέπεται, φειδόμενος καὶ ἐργαζόμενος κατὰ σμικρὸν χρήματα ξυλλέγεται. — 5. Πολὺ νέμει ταῖς Μούσαις βασιλεὺς ἑτέρων ἀγωνιζομένων τὰ τοιαῦτα θεατὴς γιγνόμενος [1]). — 6. Ἦ αἰσχρόν ἐστιν, εἴ τις ἔχων μὲν ἀγρούς, ἔχων δὲ ἐργάτας, οἷς ἂν ἐργάζοιτο, ἔπειτα ἀπὸ τῆς γῆς οὐδὲν ἀγαθὸν ἔχει; — 7. Δημοσθένη, καίπερ οὐ βουλόμενον ἀγωνίζεσθαι πρὸς Ὀλυμπιόδωρον, οἰκεῖον ὄντα καὶ ἀδελφὸν τῆς γυναικὸς αὐτοῦ, ὅμως ἡ τοῦ Ὀλυμπιοδώρου ἀδικία ἠνάγκασεν. — 8. Σωκράτης ὁ φιλόσοφος, ᾧτινι περιπίπτοι, διελέγετο περὶ τῆς πολιτείας, τῆς ἀρετῆς, τῆς οἰκονομίας καὶ ἄλλων τοιούτων. — 9. Τοῖς μὲν λαμβάνουσιν ἀργύριον ἀναγκαῖόν ἐστιν ἀπεργάζεσθαι τοῦτο, ἐφ' ᾧ ἂν μίσθον λαμβάνωσιν· τῷ δὲ Σωκράτει οὐ λαμβάνοντι οὐκ ἀνάγκη ἦν διαλέγεσθαι, ᾧ ἂν μὴ βούλοιτο. — 10. Τοῖς μὲν ἡδίω ἐστίν, ἃ ἂν αὐτοὶ παρασκευάζωνται ἢ ἃ ἂν ἄλλοι αὐτοῖς παρασκευάζωσι, τοῖς δὲ οὐχ ἡδέα, ἃ ἂν πολλοῖς πόνοις ἀπεργάζωνται. — 11. Τέρατα πλείω τοῖς Αἰγυπτίοις ἐγίγνετο ἢ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις· ἐγράφοντο γὰρ αὐτὰ καὶ ἐφύλασσον τὸ ἀποβαῖνον, ὃ προσήκειν τῷ τέρατι ἐνόμιζον. — 12. Ἐκ τῶν καλῶν μαθημάτων καὶ τῶν ἐνδόξων κατορθωμάτων καλλίστη τέρψις περιγίγνεται· ἀμφοτέρων δὲ τούτων ὑπάρχει τῷ γέροντι ἀναμιμνήσκεσθαι καὶ καθάπερ κτήμασι τέρπεσθαι. — 13. Μὴ ἀποδέχου τῶν φίλων τοὺς πρὸς τὰ φαῦλά [2]) σοι χαριζομένους. — 14. Οἱ μὲν παῖδες τοῖς τῶν γονέων κελεύμασιν, οἱ δὲ στρατιῶται τοῖς τῶν στρατηγῶν παραγγέλμασιν, οἱ δὲ πολῖται τοῖς τῆς πόλεως νόμοις πειθέσθων. — 15. Οἱ Κολωφόνιοι ἐθρύ-

1) Das Partic. aufzulösen durch „wenn". 2) Um schlechter Zwecke willen.

πτοντο καὶ τραπέζης ἀσωτίᾳ ὕβριζον. — 16. *Πολλαὶ καὶ μεγάλαι πόλεις, εὐδαίμονες οὖσαι, ταῖς ἐμφυλίοις ταραχαῖς ὑπήκοοι ἐγίγνοντο τοῖς πλησιοχώροις, καὶ ἀντὶ κρείττονος χώρας τὴν χείρονα τύχην διηλλάσσοντο.* — 17. *Τῇ βουλῇ Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως πειθόμενοι οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι τὰς τάξεις διηλλάσσοντο· οὗτοι γάρ, ἔμπειροι ὄντες τῆς εἰς τοὺς Μήδους μάχης, ἐτάσσοντο τὰς τάξεις κατὰ τοὺς Μήδους, ἐκεῖνοι δὲ κατὰ τοὺς Βοιωτοὺς καὶ Θεσσαλούς, ὡς αὐτῶν ἔμπειροι ὄντες.* — 18. *Χάριλλος ὁ Λακεδαιμονίων βασιλεὺς ἀρίστην ἔλεγε πολιτείαν, ἐν ᾗ ἂν πλεῖστοι πολιτευόμενοι περὶ ἀρετῆς πρὸς ἀλλήλους ἄνευ στάσεως ἀγωνίζωνται.* — 19. *Κριτίας τε καὶ Ἀλκιβιάδης, ὄντες φύσει φιλοτιμότατοι πάντων Ἀθηναίων, ἠβούλοντο πάντα δι' ἑαυτῶν πράττεσθαι.* — 20. *Σωκράτης τῷ Περικλεῖ, τῷ τοῦ πάνυ Περικλέους υἱῷ, διαλογιζόμενός ποτε περὶ τῆς τῶν Ἀθηναίων καὶ Βοιωτῶν δυνάμεως, παρεκελεύσατο αὐτῷ, ὑποδέχεσθαι τὴν τῆς στρατιᾶς ἡγεμονίαν, ἵνα ἐνδοξοτέρα ἔσοιτο ἡ πόλις εἰς τὰ πολεμικά.* — 21. *Ὡς ἐν συμποσίῳ ὀρχηστρὶς θαῤῥούντως τε καὶ ἀσφαλῶς διεπράττετο σφαλερὸν θαῦμα, ὁ Σωκράτης ἔλεξεν, ὅτι ἐν πολλοῖς καὶ ἄλλοις καὶ ἐν τουτοισὶ δῆλόν ἐστιν, ὡς ἡ γυναικεία φύσις οὐδὲν χείρων τῆς τοῦ ἀνδρός.* — 21. *Μετὰ τὴν τοῦ Σεύθου νίκην οὐ πολλῶν ἡμερῶν διαλιπουσῶν, οἱ ἐκ τοῦ ὄρους Θρᾷκες πρὸς τὸν Σεύθην περὶ ὁμήρων καὶ σπονδῶν διεπράττοντο.* — 22. *Ἀναξιβίου οὐκέτι ναυάρχου ὄντος, πρὸς Ἀρίσταρχον, Βυζαντίου ἁρμοστήν, Φαρνάβαζος ὁ Πέρσης διεπράττετο τὰ αὐτὰ περὶ τοῦ Κυρείου στρατεύματος, ἅπερ καὶ πρότερον πρὸς Ἀναξίβιον.* — 23. *Κῦρος ὁ δεύτερος ἐπέδειξε Λυσάνδρῳ τῷ Λακεδαιμονίῳ τὸν ἐν Σάρδεσι παράδεισον, ἐν ᾧ πάντα οὐ μόνον διετάττετο, ἀλλὰ καὶ αὐτὸς διέτατεν.* — 24. *Μάλιστα τῷ Κύρῳ ἐπίστευον αἱ πόλεις*

αἱ Ἰωνικαὶ ἐπιτρεπόμεναι, ἐπίστευον δ' οἱ ἄνδρες· οὐδὲν γὰρ ἐψεύδετο τὸν πεποιθότα αὐτῷ. —

C. *Passivum.*

1. Tempora mit unverändertem Stamme.

1. *Καθάπερ οἱ δραπέται, κἂν μὴ διώκωνται, οὕτως οἱ ἄφρονες, κἂν μὴ κακῶς πράττωσι, ταράττονται.* — 2. *Ἐάν τι μὴ ἀληθὲς λέγῃς, μὴ βαρέως φέρε, ὑπ' ἄλλων ἐλέγχεσθαι.* — 3. *Ἐν μὲν τοῖς κατόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται.* — 4. *Τὸ μὲν σῶμα ἐνδείᾳ καὶ πληρώσει, ἡ δὲ ψυχὴ ἀνέσει καὶ πόνῳ σώζεται.* — 5. *Κατὰ τὴν φύσιν ἐστὶν ἄρχεσθαι γυναῖκας ὑπὸ τῶν ἀνθρώπων, οἱ δὲ Λακεδαιμόνιοι πολλάκις ἠλέγχοντο ὡς ἀρχόμενοι ὑπὸ τῶν γυναικῶν.* — 6. *Τίς πλέον ἂν θαυμάζοιτο δικαίως ὑπὸ πάντων τῶν πεπαιδευμένων ἀνθρώπων, ἢ Ὅμηρος, ὁ κατ' ἐξοχὴν λεγόμενος ποιητής.* — 7. *Ὄλυμπος, τὸ τῶν θεῶν οἰκητήριον, οὔτ' ἀνέμοις τινάσσεται, οὔτ' ὄμβρῳ δεύεται, ἔχει δὲ τὴν αἰθρίαν ἀεὶ ἀνέφελον.* — 8. *Σώστρατος ὁ αὐλητής, ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ*[1] *γονέων ἀσήμων εἶναι, ἔλεγε· Καὶ μὴν διὰ τοῦτο ἄξιός εἰμι μᾶλλον θαυμάζεσθαι, ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται.* — 9. *Ὅταν κωλύῃ ἢ ταράττῃ, πολλάκις οὐ μόνος αἴτιος εἶ.* — 10. *Παρὰ τοῖς Ἀθηναίοις πολλοὶ μὲν ἄξιοι ἄνδρες δημοσίᾳ ἐθάπτοντο, πολλοὶ δὲ ὑπὸ τοῦ δήμου ἐδιώκοντο καὶ ὑβρίζοντο.* — 11. *Διονύσιος, ὁ τῶν Συρακοσίων τύραννος, φόβῳ ἠναγκάζετο θώρακα σιδηροῦν ἐπὶ*[2] *τὸν χιτῶνα ἐνδύειν.*

---

1) Der Artikel ist mit dem Inf. εἶναι zu verbinden; εἶναι c. Gen. „von Jemandem abstammen, also: deßhalb, weil er abstammte. 2) über.

— 12. Οἱ Λακεδαιμόνιοι ἀκούσαντες τὰς Ἀθήνας περιτειχιζομένας ἔπεμψαν πρέσβεις κωλύσοντες τὴν πόλιν μὴ τειχίζεσθαι. — 13. Οἱ τοῖς κυνηγεσίοις πόνοις ἐθιζόμενοι δυνατοὶ ἔσονται τοῦ τε πολέμου πόνους ὑπέχειν καὶ φύλακες εἶναι ἀγαθοὶ τοῦ ἐπιταττομένου[1]). — 14. Κῦρος, ἔτι παῖς ὢν δεκαέτης, ἔπαιζε σὺν ἄλλοις ἡλικιώταις, οἳ αὐτὸν αὑτῶν βασιλέα ἠβούλοντο εἶναι· βασιλεὺς δὲ ὀνομαζόμενος ἐμάστιξεν ἕνα τῶν παίδων, ἀνδρὸς δοκίμου υἱόν, ὅτι τὰ ἐπιτασσόμενα οὐκ ἀπειργάζετο. — 15. Ὁ δὲ πατὴρ τοῦ μαστιγομένου παιδὸς ὀργῇ εἶχε[2]), τὸν παῖδα ὑπὸ βουκόλου ὑβρίζεσθαι, καὶ ἦκε τοῦτο μεμφόμενος πρὸς βασιλέα. — 16. Οὗτος δὲ ἀκούσας ταῦτα τὸν βουκόλον καὶ τὸν ὑβρίσαντα παῖδα μεταπέμπεσθαι ἐκέλευσεν· ἐπεὶ δὲ ἐκεῖνοι προσήγοντο, αὐτὸς ἐξεπλήττετο τῷ χαρακτῆρι τοῦ προσώπου τοῦ παιδός· ἔπειτα δὲ τὸν Κῦρον ὡς ἑαυτοῦ ἀδελφιδοῦν ὄντα ἀνεγίγνωσκεν. — 17. Ὀλυμπία τέμενος ἦν ἐν τῇ Πισάτιδι τῆς Ἤλιδος, ἔνθα τὰ Ὀλύμπια, ἀγὼν πενταετηρικός, ἤγετο τῷ Διΐ. — 18. Τὸ τοῦ Διὸς ἐν Ὀλυμπίᾳ ξόανον, κλεινότατον ἔργον Φειδίου τοῦ Ἀθηναίου, τηλικοῦτον τὸ μέγεθος[3]) ἦν, ὥστε, καίπερ μεγίστου ὄντος τοῦ νεώ, ἥπτετο σχεδόν τι τῇ κορυφῇ τῆς ὀροφῆς. — 19. Τῆς Πισάτιδος εἰς ὀκτὼ πόλεις μεριζομένης μία τούτων λέγεται καὶ ἡ Σαλμώνη, πλησίον οὖσα τῆς ὁμωνύμου κρήνης. — 20. Περικλῆς τὰ μὲν ἄλλα[4]) τὴν ἰδέαν[4]) τοῦ σώματος ἄμεμπτος, προμήκης δὲ τὴν κεφαλὴν καὶ ἀσύμμετρος· ὅθεν αἱ εἰκόνες αὐτοῦ σχεδὸν ἅπασαι κράνεσι περιέχονται, οὐ βουλομένων τῶν τεχνιτῶν ἐξονειδίζειν. — 21. Εἰ δ' ὀρθῶς στοχαζόμεθα τοῦ δικαίου, ἔξεστι κρίνειν ἐκ τῶν γρα-

---

1) Dessen, was befohlen, aufgetragen wird. 2) war zornig, ungehalten. 3) An Größe. 4) Accus. der Beziehung.

φομένων· τούτοις προοιμιάζεται Πλούταρχος τὴν ἀναγραφὴν τοῦ βίου Περικλέους καὶ τοῦ Φαβίου Μαξίμου. — 22. Θεμιστοκλῆς ἐν ἀπήνῃ κατακλειόμενος ἀνεκομίζετο ὡς βασιλέα, τῶν περὶ αὐτὸν ἀεὶ τοῖς πυνθανομένοις λεγόντων, ὅτι γύναιον Ἑλληνικὸν ἄγοιτο ἀπ' Ἰωνίας πρός τινα τῶν ἐπὶ θύραις βασιλέως. — 23. Ἀνὴρ μέγας καὶ ἐπίσημος ὅμοιός ἐστι πλατάνῳ, ἣ οἱ μὲν χειμαζόμενοι καὶ κινδυνεύοντες ὑποτρέχουσιν, ὃς δὲ εὐδίας γιγνομένης τίλλεται καὶ κολούεται. — 24. Ἀρτέμων τρυφερός τις τῷ βίῳ καὶ πρὸς τὸν φόβον μαλακὸς ὢν τὰ πολλὰ μὲν οἴκοι διέτριβεν, εἰ δὲ βιάζοιτο τὴν οἰκίαν καταλιπεῖν, ἐν κλινιδίῳ κρεμαστῷ παρὰ τὴν γῆν αὐτὴν*) ἐκομίζετο καὶ διὰ τοῦτο ὀνομάζετο Περιφόρητος. —

B. Medium.

2. Tempora mit verändertem Stamme.

a) Verba labialia.

1. Σωκράτης Μένωνί τινι, ᾧ διείλεκτο περὶ τῆς ἀρετῆς, ἔλεξεν· Ἀρετὴ οὐκ ἂν εἴη διδακτόν, εἴπερ ὀρθῶς ἡμεῖς ἐσκέμμεθα. — 2. Δημοσθένης ἐγκωμιάζει τὸν Δημοχάρην, ἔχοντα ἀδελφὴν τῆς μητρὸς αὐτοῦ, ὅτι οὐκ ἀποκέκρυπται τὴν οὐσίαν, ἀλλ' ἀπείργασται τὴν χορηγίαν καὶ τριηραρχίαν καὶ τὰς ἄλλας λειτουργίας. — 3. Ἄφοβος, εἷς τῶν Δημοσθένους ἐπιτρόπων, ἀπολογίαν προϊσχόμενος, ἐψεύδετο, τὸν τοῦ Δημοσθένους πατέρα ἀποκεκρύφθαι τὴν οὐσίαν τὸν δῆμον. — 4. Ὁ Δημοσθένης, ὑπὲρ Στεφάνου τινὸς διωκομένου ὑπὸ Ἀφόβου ἐσκημμένου αὐτῷ ψευδομαρτυ-

---

*) Längs der Erde selbst hin = nicht weit entfernt vom Boden.

ριῶν λέγων, ἀπέδειξεν, ὡς οὐ ψευδομάρτυρ ἐστὶν ὁ Στέφανος. — 5. Ἐπεὶ Δαρεῖος [1]) ὑπώπτευε τελευτὴν τοῦ βίου, μετεπέμψατο Κῦρον ἀπὸ τῆς ἀρχῆς, ἧς αὐτὸν σατράπην ἀπέδειξεν. — 6. Καλλικρατίδας, ἐν τῷ τῆς Μυτιλήνης λιμένι ὁρμισάμενος, τὴν τε πόλιν καὶ τὸν Κόνωνα συνέκλεισε· καὶ κατὰ γῆν μεταπεμψάμενος τοὺς Μηθυμναίους πανδημεὶ καὶ ἐκ Χίου τὸ στράτευμα διεβίβασεν· ὠφελείας δὲ ὑπ' Ἀθηναίων πεμφθείσης ἠναγκάσθη τὴν πολιορκίαν λῦσαι. — 7. Πλάτων ἐν τοῖς περὶ πολιτείας ἀπέσκεπται, εἰ ὁ ἄριστος εὐδαιμονέστατος καὶ ὁ κάκιστος ἀθλιώτατός ἐστιν ἀεί. — 8. Ἀλκμήνη ηὔξατο τῷ Διΐ, τοῦ Εὐρυσθέως εἰς φυγὴν τραπέντος·

ὦ Ζεῦ, χρόνῳ [2]) μὲν τἄμ' ἐπεσκέψω κακά.
χάριν δ' ὅμως σοι τῶν πεπραγμένων ἔχω. —

9. Παρὰ τοῖς Ἀθηναίοις ὁ νόμος κελεύει· ὁ ἐπίτροπος ἀπογραψάσθω πρὸς τὸν ἄρχοντα τὰ τοῦ ὀρφανοῦ χρήματα. — 10. Εἰ γίγνοιτο ἐξέτασις τῶν πολιτῶν κατὰ δήμους, τοῖς δημόταις ἐξῆν, ἀποψηφίσασθαί τινα ὡς ἄδικον ὄντα· καὶ τοὺς οὕτως ἀποψηφισθέντας μὴ μετέχειν τῆς πολιτείας ὁ νόμος ἐκέλευεν. — 11. Αἰθίοπες οἱ ἐν τῷ Ξέρξου στρατεύμαι παρδαλᾶς τε καὶ λεοντᾶς ἐνημμένοι ἦσαν, τόξα δὲ εἶχον ἐκ φοίνικος σπάθης κατεσκευασμένα, μακρά, τετραπήχεων οὐκ ἐλάσσω. — 12. Ἡρακλῆς ἐνῆπτο τὴν διφθέραν τὴν τοῦ λέοντος τοῖς ὤμοις, τὸ μὲν ῥόπαλον τὸ ἐκ Νεμέας τῇ δεξιᾷ, τῇ δὲ ἀριστερᾷ τὰ τόξα τὰ παρ' Ἀπόλλωνος εἶχεν· ἐνεδεδύκει δὲ πέπλον τὴν παρ' Ἀθηνᾶς. — 13. Μίνως ὁ τῆς Κρήτης βασιλεὺς ἔκτισε πρῶτος θαλασσοκρατίαν καὶ τῶν νήσων τὰς πλείστας κατεστρέψατο καὶ τοὺς κακούργους ἐκόλασεν. — 14. Δημοσθένης τοῖς πολίταις παρακελευσάμενος, τοῖς Ὀλυν-

---

1) Der zweite dieses Namens. — 2) spät.

θίοις ἐπὶ τὸν Φίλιππον ὠφέλειαν πέμπειν, λέγει· Φροντίσατε τῶν λοιπῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τούτων τῶν ἀνθρώπων [1]) εἰσακούσατε, ἵνα τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτρίψησθε· εἰ δὲ μὴ ὠφέλειαν πέμψομεν, εἶτ' Ὄλυνθον ἐκεῖνος καταστρέψεται· φρασάτω τις ἐμοί, τί τὸ κωλῦον ἔτ' αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται. — 15. Ἄξιόν ἐστιν, οὐ σκέψασθαι ἐξ ἑνὸς μόνου ἔργου, ἀλλὰ καὶ ἐκ τῶν ἄλλων τῶν τινι πεπραγμένων· καὶ οὐκ ἔστι σκέψασθαι ἐκ τοῦ ἀποβαίνοντος, ἀλλ' ἐκ τῆς αἰτίας τοῦ πράξαντος. — 16. Θρασύβουλος καὶ οἱ φυγάδες οἱ σὺν αὐτῷ τῆς νυκτὸς τοῖς τῶν τριάκοντα ἱππεῦσι προσπίπτοντες πάντας ἐτρέψαντο καὶ ἐδίωξαν ἐξ ἢ ἑπτὰ στάδια. — 17. Εἰ θεοὶ σωτῆρες τῶν κυμάτων καὶ τοῦ κινδύνου ἐμὲ ἐκσώσονται, ἐπ' ἐργασίαν τρέψομαι καὶ βαδιοῦμαι ἐν τῷ ἀγορᾷ διατρίβων. — 18. Ὁ παιδαγωγὸς πρὸς τὸν Ὀρέστην λέγων εἰσάγεται ὑπὸ τοῦ Σοφοκλέους·

— — ἱκάνομεν
πολύφθορόν [2]) τε δῶμα Πελοπιδῶν τόδε,
ὅθεν σε πατρὸς [3]) ἐκ φόνων ἐγώ ποτε
— ἐξέσωσα, κἀξεθρεψάμην
τοσόνδ' [4]) ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου. —

19. Τὸν Κῦρον βουκόλος τις ἐκ μικροῦ παιδαρίου ἐξεθρέψατο, ὥστε ὑπὸ πάντων αὐτοῦ υἱὸν νομίζεσθαι. — 20. Τῶν ἐν τῇ Κυρουπόλει βαρβάρων τετραμμένων πρὸς τὰς μηχανὰς καὶ τοὺς ταύτῃ μαχομένους, Ἀλέξανδρος λάθρα διὰ τοῦ ποταμοῦ χειμάῤῥου, ξηροῦ ἐν τῷ τότε ὄντος, εἰς τὴν πόλιν εἰσέρχεται. — 21. Τοῦ Ἄγιδος [5]) ὁδυρομένου τὰ παρόντα πράγματα καὶ τὸ πα-

1) Die Gesandten der Olynthier, welche um Hülfe baten. 2) Accus. des Orts st. εἰς. 3) Des Agamemnon durch den Aegisthos. 4) εἰς τοσόνδε ἥβης = bis zu dem (Grade) der Jugendkraft. 5) Agis III. (244) und nach ihm (226) Kleomenes III. versuchten die Verfassung des Lykurgos wieder herzustellen.

λαιὸν ἀξίωμα τῆς Σπάρτης ἰσχύειν βουλομένου οἱ μὲν πρεσβύτεροι καθήψαντο, οἱ δὲ νέοι ταχὺ αὐτῷ ὑπήκουσαν καὶ συναπεδύσαντο πρὸς τὴν ἀρετὴν ὥςπερ ἐσθῆτα τὴν δίαιταν ἐπ' ἐλευθερίᾳ συμμεταβάλλοντες. — 22. Κλεομένης, τοῦ Ἀντιγόνου μετὰ πολλῆς δυνάμεως τὴν Γεράνειαν ὑπερβάλλοντος, οὐ τὸν Ἰσθμόν, ἀλλὰ τὰ Ὄνεια τειχίσας ἐφύλαξεν, ἵνα ἀποτρίψαιτο μᾶλλον τοὺς Μακεδόνας, ἢ συνάψειε πρὸς φάλαγγα δεινήν. —

b. Verba gutturalia.

1. Οἱ πρέσβεις διαπεπραγμένοι, ὧν [1]) ἕνεκα ἐπέμφθησαν, ἦκον. — 2. Εὐθύδημός τις, γράμματα πολλὰ συνειλεγμένος ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, ἐκ τούτων ἤδη ἐνόμιζε διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ. — 3. Εἰρωνικῶς ὁ Δημοσθένης λέγει τῷ Αἰσχίνῃ, Ὅτι εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων, ὑπογραμματεύειν καὶ ὑπηρέτην εἶναι τοῖς ἀρχιδίοις. — 4. Τῶν Μεγαρέων οἱ ἄριστοι ἐξετάσαντες τοὺς στρατιώτας ἐξελέξαντο τῶν τε ἐχθρῶν καὶ τῶν μάλιστα ξυμπραξάντων τὰ πρὸς τοὺς Ἀθηναίους ἄνδρας ὡς ἑκατὸν καὶ ἀποκτείνειν ἐκέλευσαν. — 5. Διογένης πρὸς τὸν ἐνσείσαντα αὐτῷ δοκόν, εἶτα λέξαντα, φύλαξαι, πλήξας αὐτὸν τῇ βακτηρίᾳ ἔλεξε, φύλαξαι. — 6. Τοσοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γίγνεσθαι τοὺς σεαυτοῦ παῖδας. — 7. Φιλόξενος ὁ γαστρίμαργος ἐπιμεμφόμενος τὴν φύσιν ηὔξατο γεράνου τὴν φάρυγγα ἔχειν. — 8. Ἀρβιδαῖος τῆς ἐφ' Ἑλλησπόντῳ Φρυγίας σατράπης ἄφνω τῇ τῶν Κυζικηνῶν πόλει προςέπιπτε καὶ τοὺς ἐν τῇ πόλει καταπληξάμενος ἠνάγκαζε [2]) δέχεσθαι φρουράν. — 9. Οἱ δὲ Κυζικηνοὶ ἀπαράσκευοι παντελῶς ὑπάρχοντες πρὸς

---

1) ταῦτα, ὧν etc. — 2) wollte zwingen.

τὴν πολιορκίαν φανερῶς μὲν πρέσβεις ἐξέπεμψαν τοὺς διαλεξομένους τῷ Ἀρριδαίῳ λῦσαι τὴν πολιορκίαν, λάθρα δὲ παρεσκευάσαντο τὰ πρὸς τὴν πολιορκίαν, ὥστε ἐκεῖνον τῆς ἐλπίδος ψευσθῆναι. — 10. Τὸν Φίλιππον πολὺ τῷ βασιλεῖ φοβερώτερον εἶναι ἢ τοῖς Ἀθηναίοις ἐνόμιζεν ὁ Δημοσθένης, ὥστε τοὺς πολίτας ἔπειθε, πρεσβείαν ἐκπέμπειν, ἥτις τῷ βασιλεῖ διαλέξεται[1]). — 11. Ἐπὶ τοῦ Μαξιμίνου βασιλεύσαντος τῆς Καρχηδονίας χώρας ἐπετρόπευέ τις τραχύτατα καὶ χρήματα ὡς πλεῖστα τοὺς ἀρχομένους ἐπράττετο· τοῦτον οὖν νεανίσκοι τῶν εὐγενῶν τινες προσερχόμενοι ὡς περὶ τῆς ἀποδόσεως τῶν χρημάτων διαλεξόμενοι ἐφόνευσαν. — 12. Οἱ κυνηγέται ἀγαθοὶ ἂν στρατιῶται γίγνοιντο· αὐτοὶ γὰρ ἐν φυγῇ τῶν πολεμίων ὀρθῶς καὶ ἀσφαλῶς διώξονται τοὺς ἐναντίους ἐν παντὶ χωρίῳ διὰ συνήθειαν. — 13. Διονύσιος καταπεπληγμένος τοὺς Καρχηδονίους[2]) ἀπέπεμψε πρεσβευτὴν πρός τε τοὺς κατ' Ἰταλίαν Ἕλληνας καὶ πρὸς Λακεδαιμονίους πείσοντα, αὐτῷ ὠφέλειαν πέμπειν. — 14. Οἱ ἑπτὰ Πέρσαι οἱ τὸν Σμέρδιν φονεύσαντες περὶ τῆς βασιλείας ἐβουλεύσαντο τοιόνδε· ὅτου ἂν ὁ ἵππος ἡλίου ἀνατέλλοντος πρῶτος φθέγξηται ἐν τῷ προαστείῳ, τοῦτον ἔξειν τὴν βασιλείαν. — 15. Πολλοὶ ἤδη σοφοὶ ἐπολιτεύσαντο, Πίττακος, Σόλων, Λυκοῦργος, Ζάλευκος, ἄλλοι μυρίοι· ἁρμόττει γὰρ τῷ σοφῷ πολιτεύεσθαι· τίς γὰρ ἄμεινον αὐτοῦ συμβουλεύσεται τὸ συμφέρον, καὶ νόμους γράψεται ἢ ἀποψηφιεῖται, καὶ ἀδωροδόκητα ταῦτα διαπράξεται; — 16. Ἀριάδνην οἱ μὲν λέγουσιν ἀπάγξασθαι ἀπολειφθεῖσαν ὑπὸ τοῦ Θησέως ἐν Νάξῳ, οἱ δὲ εἰς Νάξον κομισθεῖσαν Διονύσῳ γυναῖκα ἀχθῆναι. — 17. Ἀνδρὸς ἀγαθοῦ καὶ κοσμίου ἐστὶ καὶ πο-

---

1) Er schloß nämlich, der König von Persien werde um so geneigter sein, sich mit ihnen gegen Philipp zu verbinden. — 2) Vor den Karthagern. —

λίτας καὶ ξένους καλῶς ἀποδέξασθαι καὶ ἀποπέμψαι. — 18. Συρακόσιοι ἐννέα τριήρεσι πρὸς ἑκατὸν καὶ εἴκοσι τὰς τῶν Καρχηδονίων παραταξάμενοι εἰς φυγὴν ἐτρέψαντο. — 19. Ἀθηναίων ναῦς τὰς ἀρίστας ἐπιλεξάμενος Θεμιστοκλῆς ἐπορεύετο περὶ τὰ πότιμα ὕδατα, ἐγγλύφων ἐν τοῖς λίθοις γράμματα, ἵνα Ἴωνες, οἱ ἐπὶ τοῦ Ξέρξου ἐπερχόμενοι τῇ ὑστεραίᾳ ἡμέρᾳ ἐπὶ τὸ Ἀρτεμίσιον, ἐπιλέξαιντο. — 20. Τὰ ἐν τῇ Παραιτακηνῶν χώρᾳ διαπραξάμενος Ἀλέξανδρος αὐτὸς μὲν ἐς Βάκτρα ἐπορεύθη, Κρατερὸν δὲ τῶν ἱππέων ἑταίρων ἔχοντα ἑξακοσίους καὶ τῶν πεζῶν τὴν τε αὐτοῦ τάξιν καὶ τὴν Πολυσπέρχοντος καὶ Ἀττάλου ἐπὶ Κατάνην τε καὶ Αὐστάνην[1]) ἐξέπεμψεν, οἳ δὴ μόνοι ἔτι ὑπελείποντο ἐν ἐκείνῃ τῇ χώρᾳ. — 21. Ἀμάλθεια ἡ Αἱμονίου θυγάτηρ κέρας εἶχε ταύρου. Τοῦτο δέ, ὡς Φερεκύδης λέγει, δύναμιν εἶχε τοιαύτην, ὥστε βρωτὸν ἢ ποτόν, ὅπερ εὔξαιτό τις, παρέχειν ἄφθονον. — 22. Λύσανδρος ὁ Λίβυος καὶ Μανδροκλείδας ὁ Ἐκφάνους[2]) καὶ πλεῖστοι τῶν νέων ἀπεδέξαντο τὴν φιλοτιμίαν τοῦ Ἄγιδος, ἐπισκευάσοντος τοὺς νόμους τοῦ Λυκούργου. — 23. Μέγιστον ἦν κατ' Ἀθηναίων ἐγκώμιον, ὅτι Φίλιππος τοὺς μὲν Μεσσηνίους καὶ τοὺς Ἀργείους εὖ πράττει, τοὺς δ' Ἀθηναίους οὔ· ἐνόμιζε γάρ, αὐτοὺς μόνους οὐδεπώποτε κέρδους τὰ κοινὰ δίκαια ἀνταλλάξασθαι, οὐδὲ χάριτος, οὐδ' ἀσφαλείας τὴν εἰς τοὺς Ἑλλήνων εὔνοιαν. —

c. Verba lingualia.

1. Παρεσκεύασθε, ὦ νεανίαι, μηδὲν ἂν φυγεῖν τῶν ὑπ' ἐκείνου προσταττομένων, ὅστις ποτ' ἐστὶν ὁ ἄνθρωπος, οἷς ἂν βελτίους γίγνησθε. — 2. Εἰ μέλλεις

1) Anführer der Baktrier. — 2) Spartaner zu der Zeit des Agis.

πράττειν τὰ τῆς πόλεως, πᾶσαν [1]) παρασκευὴν παρασκευασμένος ὑποδέχου τοῦτο τὸ πρᾶγμα. — 3. Σαρδανάπαλος πᾶν τὸ σῶμα ψιμυθίοις ἁπαλώτερον πάσης [2]) γυναικὸς τρυφερᾶς κατεσκεύαστο. — 4. Τῇ αὐτοῦ διαθέσει ἀπηλλάττετο τῶν Ἀρμενίων ὁ Κῦρος κεχρηματισμένος οὐ μόνον τὰ χρήματα, ἃ εἶχεν, ἀλλὰ πολὺ πλείονα τούτων ἡτοιμασμένος διὰ τὸν τρόπον, ὥστε λαμβάνειν, ὁπότε βούλοιτο. — 5. Ὡς Ξέρξης πάντα ἡτοίμαστο τὰ πρὸς τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν, ἐξέπεμψε κήρυκας ἐπὶ γῆς τε καὶ ὕδατος αἴτησιν εἰς τὴν Ἑλλάδα πλὴν οὔτε εἰς Ἀθήνας οὔτε ἐς Λακεδαίμονα. — 6. Τῷ μὲν Ἀριστείδῃ, κυρίῳ ὄντι τῶν κοινῶν παρὰ τῶν Ἑλλήνων φόρων, οὐδὲν ὑπῆρχεν, ὥστε θαφθῆναι δημοσίᾳ· ὕστερον δὲ οἱ τὰ κοινὰ πολιτευόμενοι ἐκ πτωχῶν εὔποροι καὶ πολλοῦ χρόνου τροφὴν ἄφθονον ἦσαν ἡτοιμασμένοι. — 7. Ἀδικώτατον τρόπον παρεφέροντο οἱ Ἀθηναῖοι τοῖς αὑτοὺς [3]) πλεῖστα καὶ μέγιστα ἀγαθὰ κατειργασμένοις ἀνθρώποις· τὸν γὰρ Θεμιστοκλέα ἐκεκολάκεσαν ἂν [4]) τῷ θανάτῳ, εἰ μὴ ἀπέφυγεν εἰς τοὺς Πέρσας· τὸν δὲ Ἀριστείδην καὶ τὸν Κίμωνα εἰς δέκα ἔτη ἐξωστράκισαν. — 8. Νῖνος ὁ βασιλεὺς τῶν Ἀσσυρίων ἐπιφανεστάτας πράξεις τῶν πρὸ αὐτοῦ κατειργασμένος ἔκτισε πόλιν μεγάλην καὶ εὖ τετειχισμένην καὶ ὠνόμασεν ἀφ' ἑαυτοῦ Νῖνον. — 9. Οἱ Ἀθηναῖοι, ἐψευσμένοι γνώμης, τοὺς Πελοποννησίους πανδημεὶ ἐκστρατεύσεσθαι εἰς Βοιωτίαν ἐπὶ τοὺς βαρβάρους, ἐξέλιπον τὴν πόλιν καὶ ἔφυγον εἰς τὰς ναῦς. — 10. Λεύκουλλος ὁ Ῥωμαίων στρατηγός, ὁ τὸν Μιθριδάτην καὶ Τιγράνην καταγωνισάμενος, πρῶτος διεκόμισεν εἰς Ἰταλίαν τὸν κέρασον. — 11. Ἡρακλῆς τοῖς

---

1) Aller möglichen d. h. der gehörigen. — 2) Als irgend ein ꝛc. — 3) Doppelter Accuſ. bei den Verbis: thun, machen, wie κατεργάζεσθαι. — 4) Würden ihn beſtraft haben, wenn er nicht...

Ὀλυμπίοις θεοῖς συνηγωνίσατο τὸν πρὸς Γίγαντας πόλεμον. — 12. Θεμιστοκλῆς καὶ Ἀριστείδης πολλὰ καὶ καλὰ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ διεπραξάσθην. — 13. Οἱ τῶν Περσῶν βασιλεῖς τοῖς φίλοις, οὓς θεραπεύειν ἠβούλοντο, ἢ πόλεις ἢ καὶ χώρας ἐχαρίσαντο, ἵνα ἔχοιεν βιοτεύειν ἀπὸ τῶν προσόδων αὐτῶν· οἷον Κῦρος ὁ μέγας Πυθάρχῳ τῷ Κυζικηνῷ, φίλῳ ὄντι, ἑπτὰ πόλεις ἐχαρίσατο, Ἀρταξέρξης δὲ ὁ πρῶτος τῷ Θεμιστοκλεῖ τρεῖς, εἰς ἄρτον καὶ οἶνον καὶ ὄψον, Μαγνησίαν καὶ Λάμψακον καὶ Μυοῦντα[1]). — 14. Ἐπεὶ Θρασύλος ὁ στρατηγὸς ἠνάγκασεν Ἄγιν, ἐκ τῆς Λεκελίας ἐπὶ τὸ ἄστυ ἐκστρατευσάμενον, πάλιν ἀπάγειν, οἱ Ἀθηναῖοι αὐτῷ ἔτι προθυμότεροι ἦσαν καὶ ἐπεψηφίσαντο, ὁπλίτας τε αὐτὸν καταλέξασθαι χιλίους, ἱππέας δὲ ἑκατόν, τριήρεις δὲ πεντήκοντα. — 15. Ἄφοβος πολλὰ καὶ μεγάλα πρὸς τοὺς δικαστὰς ἐψευσμένος ἐξελήλεγκται ὑπὸ τοῦ Δημοσθένους τῷ δευτέρῳ λόγῳ, ὃν κατ' αὐτοῦ ἔλεξεν. — 16. Λόγισαι πολλὰ πρὸ τοῦ λέγειν ἢ πράττειν· οὔτε γὰρ τὰ πραχθέντα ἂν ἀποδείξαις ἀγένητα, οὔτε τὰ λεχθέντα ἄλεκτα. — 17. Κυβερνήτου μὲν ἔργον ἀγαθοῦ, εἰς τὰς τῶν πνευμάτων μεταβολὰς ἁρμόσασθαι, ἀνδρὸς δὲ σοφοῦ, πρὸς τὰς τῆς τύχης. — 18. Οὔθ' οἱ ἄμουσοι τοῖς ὀργάνοις, οὔθ' οἱ ἀπαίδευτοι ταῖς ἀτυχίαις οἷοί τέ εἰσιν συναρμόσασθαι. — 19. Λίων ὁ Ἱππαρίνου, φυγὰς ὢν ὑπὸ Διονυσίου τοῦ δευτέρου, μετὰ δισχιλίων στρατιωτῶν αὖθις κατηγωνίσατο· καὶ ὃ πρότερον αὐτὸς ἦν, τοῦτο ἐκεῖνον εἰργάσατο, φυγάδα. — 20. Τῇ πρὸς τοὺς ἐπιτρόπους δίκῃ ὁ Δημοσθένης καταδεδίκασται τὴν οὐσίαν τοῦ πατρός. — 21. Καίπερ ἐξὸν[2]) τοῖς Ἕλλησιν[3]) ἐν Ἀσίᾳ πόλιν κτίσαι καὶ αὐτοὺς εὐδαίμονας εἶναι καὶ τοὺς οἰ-

1) Städte in Klein-Asien, meistens von griechischen Einwohnern bewohnt. — 2) Absolut „obgleich es erlaubt war". — 3) Den 10,000 des Xenophon.

κοι ἀκλήρους ἐκεῖσε κομίσασθαι, δίκαιον καὶ εἰκὸς ἐνόμιζον εἶναι εἰς τὴν Ἑλλάδα καὶ τοὺς οἰκείους πορεύεσθαι. — 22. Πλαταιῆς[1]) παῖδας μὲν καὶ γυναῖκας καὶ τοὺς πρεσβυτάτους τε καὶ πλῆθος τὸ ἀχρεῖον τῶν ἀνθρώπων πρὸ τῆς πολιορκίας ἐκκεκομισμένοι ἦσαν ἐς τὰς Ἀθήνας, αὐτοὶ δὲ συνεκλείοντο ὑπὸ τῶν Πελοποννησίων, ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. Τοσοῦτοι ἦσαν οἱ ξύμπαντες, ὅτε ἡ πολιορκία ἤρχετο, καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει οὔτε δοῦλος οὔτε ἐλεύθερος· τοιαύτη ἡ Πλαταιῶν πολιορκία κατεσκευάσθη. — 23. Οἱ Εὐβοεῖς, τῶν Περσῶν ἐπιστρατευσαμένων, τῷ Βάκιδος χρησμῷ πεποιθότες, οὔτε ἐξεκομίσαντο οὐδὲν οὔτε προσεις ήξαντο ὡς παρεσομένου αὐτοῖς πολέμου. — 24. Ἐκ Φιλίππου ἦν νόμος, τῶν ἐν τέλει Μακεδόνων τοὺς παῖδας ὅσοι ἐς ἡλικίαν ἐμειρακίσαντο, καταλέγεσθαι ἐς θεραπείαν τοῦ βασιλέως, οἷς τά τε ἄλλα τοῦ σώματος τοῦ βασιλέως θεραπεύειν καὶ τὸν βασιλέα ἀναπαυόμενον φυλάσσειν ἐπετέραπτο. —

C. Passivum.

2. Tempora mit verändertem Stamme.

a. Verba labialia.

1. Ὁ σῖτος τῇ μύλῃ τέτριπται. — 2. Ἐν τῇ Ἀργόλιδι καὶ τὸ Τημένιόν ἐστιν, ἐν ᾧ τέθαπται Τήμενος, πρῶτος ἐν Ἄργει βασιλεὺς Ἡρακλείδης ὤν. — 3. Ἐπὶ τῆς κολακείας, ὡς ἐπὶ μνήματος, αὐτὸ[2]) μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται. — 4. Σοφοκλῆς μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, ἔτι παῖς ὤν, περὶ τρό-

---

1) Aeltere att. Endung für εῖς. — 2) Nur der Name, im Gegensatz der Sache.

παιον γυμνὸς ἀληλιμμένος ἐχόρευσεν. — 5. Οἱ ἀργυρογνώμονες διαγιγνώσκουσι, τίνα τῶν νομισμάτων ἐστὶ δόκιμα καὶ ἀκίβδηλα, καὶ τίνα παρακεκομμένα ἢ κατατετριμμένα. — 6. Ἐν Πασαργάδαις τάφος ἦν Κύρου τοῦ πρώτου Περσῶν βασιλέως, ἐν ᾧ τάδε ἐπεγέγραπτο· Ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι, ὁ τὴν ἀρχὴν τοῖς Πέρσαις κτίσας, καὶ τῆς Ἀσίας βασιλεύσας· μὴ οὖν ταράξῃς μοι τὸ μνῆμα. — 7. Ὑπὸ τῶν Ὑρκανίων πεζοὶ μὲν ὅτι πλεῖστοι [1]), ἱππεῖς δὲ πολὺ πλείους ἢ πρότερον, εἰς δισχιλίους, ἐπέμφθησαν· τὸ γὰρ πρόσθεν καταλελειμμένοι ἦσαν πλείους οἶκοι αὐτῶν ἱππεῖς, ὅτι οἱ Καδούσιοι καὶ οἱ Σάκαι τῶν Ἀσσυρίων πολέμιοι ἦσαν [2]). — 8. Κῦρος κατεπέμφθη ὑπὸ Δαρείου τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας καὶ Καππαδοκίας. — 9. Οἱ Γίγαντες, Γῆς καὶ Οὐρανοῦ παῖδες, φοβεροὶ τῇ τε δυνάμει καὶ ταῖς ὄψεσιν, ἠκόντιζον εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας. — 10. Ἀντώνιος τὸν περιόντα σῖτον διεμέρισε ταῖς πόλεσι πρατούσαις ἀθλίως καὶ περικεκομμέναις χρημάτων, ἀνδραπόδων, ὑποζυγίων. — 11. Ὡς Ἀλέξανδρος τὰ τῆς διαβάσεως τοῦ Ἰνδοῦ παρεσκευάζετο, Κρατερὸς ὑπελέλειπτο ἐπὶ στρατοπέδου, τήν τε αὐτοῦ ἔχων ἱππαρχίαν καὶ τοὺς ἐξ Ἀραχώτων καὶ Παραπαμισαδῶν ἱππέας καὶ τῆς φάλαγγος τῶν Μακεδόνων τὴν Πολυσπέρχοντος τάξιν. — 12. Παρὰ τοῖς Ἀθηναίοις οἱ παῖδες ὑπὸ τοῦ πατρὸς ἐνεγράφοντο εἰς τοὺς φράτορας, ἵνα πολῖται γνήσιοι εἶεν· ὅθεν τις παρὰ τῷ Δημοσθένει λέγει· Ὁ πατὴρ ἡμᾶς ἐγγέγραφε τοῖς Ἀπατουρίοις, οὑτοσὶ [3]) μὲν Βοιωτὸς εἰς τοὺς φράτορας ἐγγέγραπται· ὁ δ' ἕτερος, Πάμφιλος· Μαντίθεος δ' ἐνεγεγράμμην ἐγώ. — 13. Νικομαχίδης τις Ἀθηναῖος, ὃς ἐκ καταλόγου στρατευ-

1) Quam plurimi. — 2) Von denen sie also leicht einen Ueberfall zu befürchten hatten. — 3) Zeigt hin auf einen, der gegenwärtig ist

ὁμενος κατετέτριπτο καὶ λοχαγός τε καὶ ταξιαρχὸς ὢν τραύματα ὑπὸ τῶν πολεμίων τοιαῦτα, οἷα ὀλίγοι ἄλλοι, εἶχε, χαλεπῶς ἔφερεν, ὅτι ὁ δῆμος αὐτὸν στρατηγὸν οὐκ ἀπέδειξεν. — 14. Ἐν τοῖς τοῦ Ξέρξου στρατιώταις ἐνέπρεπον Σαράγγαι εἵματα μὲν βεβαμμένα ἔχοντες, πέδιλα δὲ ἐς γόνυ ἀνατείνοντα· τόξα δὲ καὶ ἀϊχμὰς Μηδικάς. — 15 Οἱ Χάλυβες, ἀλκιμώτατοι τῶν ἐν Ταύρῳ ἐθνῶν, εἶχον θώρακας λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων σπάρτα πυκνὰ ἐστραμμένα. — 16. Αἰγύπτου πάσης βασιλεύσας ὁ Ψαμμίτιχος ἱδρύσατο τῷ Ἡφαίστῳ προπύλαια ἐν Μέμφι, τὰ πρὸς νότον ἄνεμον τετραμμένα. — 17. Ἐπεὶ οἱ μετὰ Ξενοφῶντος Ἕλληνες ἐν τῇ τῶν Μοσυνοίκων ἐν τοῖς φίλοις ἦσαν, οὗτοι προσῆγον αὐτοῖς παῖδας τῶν εὐδαιμόνων σιτευτούς, τεθραμμένους καρύοις ἐφθοῖς, ἁπαλοὺς καὶ λευκούς, ποικίλους δὲ τὰ νῶτα καὶ τὰ ἔμπροσθεν πάντα ἐστιγμένους. — 18. Οἱ τοῦ Ξέρξου στρατιῶται ἐν Θερμοπύλαις τρὶς ὑπὸ τῶν Ἑλλήνων εἰς φυγὴν τετραμμένοι, τὸ τέταρτον μεμαστιγμένοι αὐτοῖς ἐπέρχονται. — 19. Ἐν πάσῃ ἐλευθερίᾳ τεθραμμένοι οἱ Ἀθηναῖοι πολλὰ δὴ καὶ καλὰ ἔργα ἀπειργάσαντο εἰς πάντας ἀνθρώπους, νομίζοντες προσήκειν αὐτοῖς ὑπὲρ τῆς ἐλευθερίας καὶ Ἕλλησιν[1]) ὑπὲρ Ἑλλήνων καὶ βαρβάροις ὑπὲρ ἁπάντων Ἑλλήνων μάχεσθαι. — 20. Οἱ Ἀργεῖοι ἐς τὴν ξυμμαχίαν προσεδέχοντο τοὺς ἐθέλοντας τῶν Ἑλλήνων, οἷον τοὺς Μαντινῆς[2])· τοῖς γὰρ Μαντινεῦσι μέρος τι τῆς Ἀρκαδίας κατέστραπτο ὑπήκοον ἔτι τοῦ πρὸς Ἀθηναίους πολέμου ὄντος. — 21. Ὁ Σαρδανάπαλλος ἐκεῖνος, ὁ τὸ σῶμα ἐντετριμμένος καὶ τὴν χαίτην διαπεπλεγμένος καὶ ἐν πορφυρίσι κατορωρυγμένος καὶ ἐν βασιλείοις κατακε-

---

1) Gegen Hellenen. — 2) S. pag. 93. Anm. 1. Die Mantineer verbündeten sich aus Furcht vor den Lacedämoniern mit den Argivern.

κλεισμένος οὐδὲν ἄλλο ἐδίωκεν ἢ εὐδαιμονίαν καὶ ἡδονήν. — 23. Ὁ πεζὸς στρατός, ὃς κατελέλειπτο τοῦ ἄλλου μεγάλου στρατοῦ, τὸ πλῆθος ὢν ἓξ μυριάδων, Ξέρξου κελεύσαντος, ἐφύλασσε τὴν Ἰωνίαν· ἦρχε δ' αὐτοῦ Τιγράνης, κάλλει τε καὶ μεγέθει διαφέρων Περσῶν. — 23. Ὁ Περικλῆς τοῖς Ἀθηναίοις ἔλεξε· Φέρετε τά τε δαιμόνια ἀναγκαίως, τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως. Ταῦτα γὰρ ἐν ἔθει τῇδε τῇ πόλει [1]) πρότερόν τε ἦν, νῦν τε μὴ ἐν ὑμῖν κωλυθῇ· γιγνώσκετε δὲ ὄνομα μέγιστον αὐτὴν ἔχουσαν [2]) ἐν πᾶσιν ἀνθρώποις καὶ δύναμιν μεγίστην μέχρι τοῦδε [3]), ἧς ἐς ἀίδιον τοῖς ἐπιγιγνομένοις μνήμη καταλελείψεται [4]). — 24. Μενέλαος καὶ Τεῦκρος περὶ τῆς τοῦ Αἴαντος ταφῆς ἐρίζοντε ἀλλήλοιν ὧδε ἐλεξάτην·

M. Ἔν σοι φράσω, τόνδ' [5]) ἐστὶν οὐχὶ θαπτέον.

T. Σὺ δ' ἀντακούσει τοῦτον, ὡς τεθάψεται.

b) Verba gutturalia.

1. Ἐν τοῖς πρὸς Μήδους πολέμοις πολλὰ καὶ καλὰ ἔργα ὑπὸ τῶν Ἀθηναίων πέπρακται. — 2. Ἀννίβας μόνος οὕτω ξυνετὸς ἦν, ὥστε ταχὺ διαγιγνώσκειν, ὡς πάσῃ τέχνῃ καὶ βίᾳ κινητέος ἐστὶν εἰς μάχην Φάβιος Μάξιμος, ἢ διαπέπρακται τὰ Καρχηδονίων. — 3. Κῦρος ὁ πρεσβύτερος, ὡς ἤκουσεν, ὅτι πρὸς τὸν Ἰνδὸν [6]) πολλάκις οἱ Χαλδαῖοι ἐπορεύοντο, ἠβούλετο, γιγνώσκειν τὸν Ἰνδὸν τὰ αὐτῷ [7]) πεπραγμένα. — 4. Πολλὰ μὲν τοῖς ἀνθρώποις ἀνέλπιστα πράττεται, πολλὰ δὲ πέπρακται, πολλὰ δὲ πραχθήσεται. — 5. Σὺ μέν, ὦ Γορ-

---

1) Athen. — 2) Nach γιγνώσκειν das Part. ſtatt des Infinit. „daß ſie hat". — 3) Bis jetzt — bis zu dieſem Augenblicke. — 4) Wird zurückbleiben. Vergl. Buttm. Gr. § 125 p. 387. — 5) Der Accuſ. hängt von dem in θαπτέον liegenden Begriff des Müſſens ab; οὐχί = οὐκ. — 6) Zu verſtehen „der König der Inder" als Herr des ganzen Volks. — 7) τῷ Κύρῳ.

γία, ὡς ἐμοὶ φαίνεται, τετάραξαι, εἰ ἡ ἀρετὴ διδακτὸν ἢ οὐ διδακτόν· τοὺς οὖν οὕτω τεταραγμένους περὶ ὁτουοῦν νομίζοιμι ἂν οὐ κυρίως διδασκάλους εἶναι. — 6. Κόνων ἔφευγε, τοῦ Βρασίδου διώξαντος, εἰς Μυτιλήνην τῆς Λέσβου ταῖς ναυσίν, ταχίσταις οὔσαις διὰ τὸ ἐκ πολλῶν πληρωμάτων ἐς ὀλίγας ἐκλελέχθαι τοὺς ἀρίστους ἐρέτας. — 7. Οὐκ ἔστιν, ὦ παῖ, συντομωτέρα ὁδός, περὶ ὧν ἂν βούλῃ φαίνεσθαι φρόνιμος εἶναι, ἢ τὸ γίγνεσθαι περὶ τούτων φρόνιμον· καὶ εἰ δὴ πείσαις πολλούς, ὅπως σε φρόνιμον νομίσωσιν, μὴ ὄντα φρόνιμον [1]), ὀλίγῳ ὕστερον, ὅπου ἂν πεῖραν παρέχῃ, ἐξεληλεγμένος ἂν εἴης. — 8. Χαβρίας, πολλῶν καὶ καλῶν αὐτῷ [2]) πεπραγμένων κατὰ πόλεμον, μάλιστα ἐπὶ τῷ στρατηγήματι [3]) ἐθαυμάζετο, ᾧ τὸν Ἀγησίλαον συντεταγμένῃ τῇ δυνάμει προάγοντα ἐπὶ τοὺς Βοιωτοὺς ταναντία στρέψαι ἠνάγκασεν. — 9. Λᾶτις καὶ Ἀρταφέρνης, οἱ ὑπὸ βασιλέως ἀποδειχθέντες στρατηγοί, πορευόμενοι παρὰ βασιλέως ἦκον τῆς Κιλικίας ἐς τὸ Ἀλήϊον πεδίον, ἅμα ἀγόμενοι πεζὸν στρατὸν πολύν τε καὶ εὖ ἐσκευασμένον· καὶ ἐνταῦθα στρατοπεδευομένων ἦκεν ὁ ναυτικὸς πᾶς στρατὸς ὁ ἐπιταχθεὶς ἑκάστοις. — 10. Μετὰ τὴν τοῦ Μήδου ἀναχώρησιν μείζων ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς τῶν Ἀθηναίων πόλεως. — 11. Ἀελυμένων λαμπρῶς τῶν σπονδῶν, ἐπετάχθησαν αἱ τῶν Λακεδαιμονίων καὶ τῶν ξυμμάχων πόλεις κατὰ μέγεθος ναῦς παρασκευάζεσθαι, ὡς [4]) ἐς τὸν πάντα ἀριθμὸν πεντακοσίων νεῶν ἐσομένων. — 12. Βέρρης, τοὺς Σικελιώτας πάσῃ μηχανῇ καὶ ἀδικίᾳ ὑβρίσας, ἐξελήλεγκται ὑπὸ Κικέρωνος, τοῦ τῶν Ῥωμαίων δεινοτάτου καὶ δικαιοτάτου [5]) ῥήτορος. —

---

1) Ohne . . . zu ſein. — 2) Dativ für ὑπό c. Gen. — 3) Vergl. Cornel. Nep. Chabr. I, 1. — 4) Da es in ihrer — der Verbündeten — Abſicht lag, daß es ſoviel werden ſollten. — 5) δίκαιος „uneigennützig".

13. Ἑκάστῳ τῶν πολιτευομένων ἔργον τι προστετάχθω, τοῖς μὲν τὸ δικάζειν, τοῖς δὲ τὸ ἄρχειν, τοῖς δὲ τὰ προστεταγμένα διαπράττειν. — 14. Κάλλιστον δὴ τοῦτο λέγεται καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν. — 15. Ὡς Αἰσχίνης ἐδίωκε τὸν Δημοσθένην περὶ τοῦ χρυσοῦ στεφάνου [1]), οὗτος τοῖς Ἀθηναίοις βραχέα περὶ αὐτοῦ ἔλεξεν, ἵνα μηδεὶς αὐτῶν τοῖς ἔξωθεν λόγοις ἡγμένοις ἀλλοτριώτερον [2]) τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ αὐτοῦ. — 16. Οἱ εὐφυέστατοί τε καὶ ἐῤῥωμενέστατοι τῶν ἀνθρώπων ἐκ παίδων καλῶς ἀχθέντες, ἄριστοί τε καὶ ὠφελιμώτατοι γίγνονται, ἀπείδευτοι δὲ καὶ ἀμαθεῖς γίγνονται κάκιστοι καὶ βλαβερώτατοι. — 17. Νικίας, ὁ τῶν Ἀθηναίων ἐν Σικελίᾳ στρατηγός, παρεκελεύσατο τοῖς στρατιώταις τε καὶ ταῖς ναύταις, μὴ ἐκπεπλῆχθαί τι ταῖς ξυμφοραῖς ἄγαν. — 18. Βρασίδας ὁ Λακεδαιμόνιος, ἐκ τῆς Ἀμφιπόλεως ἐκβάλλων καὶ ἐμπίπτων τοῖς Ἀθηναίοις τεταραγμένοις τε ἅμα τῇ σφετέρᾳ ἀταξίᾳ καὶ τὴν τόλμαν αὐτοῦ ἐκπεπληγμένοις, κατὰ μέσον τὸ στράτευμα ἔτρεψεν. — 19. Πολυβώτης, εἷς τῶν Γιγάντων, διὰ τῆς θαλάσσης διωχθεὶς ὑπὸ τοῦ Ποσειδῶνος ἦκεν εἰς Κῶ· Ποσειδῶν δὲ τῆς νήσου μέρος ἐπέῤῥιψεν αὐτῷ. — 20. Οἱ Βοιωτοὶ τοῖς Πλαταιεῦσι τὴν μετὰ τῶν Ἀθηναίων ξυμμαχίαν ὀνειδίζοντες ἔλεγον, ὅτι ἃ ἡ φύσις αὐτῶν ἀεὶ ἐβούλετο [3]), ἐξηλέγχθη ἐς τὸ ἀληθές. — 21. Ἐπιπίπτει πολλὰ καὶ χαλεπὰ κατὰ [4]) στάσιν ταῖς πόλεσι, γιγνόμενα μὲν καὶ ἀεὶ ἐσόμενα ἕως ἂν ἡ αὐτὴ φύσις ἀνθρώπων ᾖ, μᾶλλον δὲ κἀὶ ἡσυχαίτερα καὶ τοῖς

---

1) Mit einem goldenen Kranze war Demosthenes von seinen Mitbürgern beschenkt wegen seiner Verdienste um das Vaterland; diesen suchte ihm Aeschines streitig zu machen. — 2) Etwas, das von den wirklichen Verhältnissen (τὰ δίκαια) zu sehr abweicht. — 3) Worauf sie stets wirklich gesonnen hätten. — 4) Während, bei. —

εἴδεσι διηλλαγμένα, ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐπιγίγνωνται. — 22. Διακοσίων ἐπικεκηρυγμένων τῷ Θεμιστοκλεῖ ταλάντων ὑπὸ βασιλέως, Ἐργοτέλης καὶ Πυθόδωρος, πονηροὶ καὶ φιλοκερδεῖς, ἐπεβούλευσαν αὐτοῦ τῷ βίῳ. — 23. Θεμιστοκλῆς πορευόμενος ὡς βασιλέα διεταράχθη ἐν πόλει Λεοντοκεφάλῳ τῆς Μεγάλης Μητρὸς [1]) ὄψει, διαφυλάττεσθαι κεφαλὴν λεόντων· ὁ δὲ πειθόμενος τῇ θεῷ τοῦ τόπου παραλλαχθέντος τὸν βίον ἔσωσεν. — 24. Τοῦ Θεμιστοκλέους εἰς Ἀσίαν φυγόντος τὰ χρήματα εἰς τὸ δημόσιον συνήχθη· Θεόπομπος μὲν ἑκατὸν τάλαντα, Θεόφραστος δὲ ὀγδοήκοντα συναχθῆναι λέγει. —

c. Verba lingualia.

1. Τῶν Χαλδαίων τοῖς μὲν ἄλλοις πᾶσιν ἡ πρὸς τοὺς Ἀρμενίσους εἰρήνη ἦν· ἦσαν δέ τινες αὐτῶν, οἳ ἐληΐζοντο καὶ οὐδὲν εἰργάζοντο, εἰθισμένοι ἀπὸ πολέμου βιοτεύειν. — 2. Ἦν φρούριον ἐν τοῖς τῶν Ἀσσυρίων ὅροις, ὃ ἐπετετείχιστο Ὑρκανίοις τε καὶ Σάκαις, ἵνα ταύτῃ τῇ χώρᾳ πρόβολος εἴη τοῦ πολέμου. — 3. Ὡπλισμένοι ἦσαν πάντες οἱ περὶ τὸν Κῦρον τοῖς αὐτοῖς Κύρῳ [2]) ὅπλοις, χιτῶσι φοινικοῖς, θώραξι χαλκοῖς, κράνεσι χαλκοῖς, λόφοις λευκοῖς, μαχαίραις· τοσοῦτο δὲ μόνον διέφερε τὰ Κύρου ὅπλα, ὅτι τὰ μὲν ἄλλα ἐκέχριστο τῷ χρυσοειδεῖ χρώματι, τὰ δὲ Κύρου ὅπλα ὥσπερ κάτοπτρον ἐξέλαμπεν. — 4. Γηρυόνης ὁ Χρυσάορος καὶ Καλιρρόης τριῶν εἶχεν ἀνδρῶν συμφυὲς σῶμα, συνηγμένον μὲν εἰς ἓν κατὰ τὴν γαστέρα, ἐσχισμένον δὲ εἰς

1) Die in Klein-Aſien am meiſten verehrte Magna Mater Deorum, Kybele oder Kybebe. — 2) Der Dativ hängt ab von τοῖς αὐτοῖς = mit demſelben, als Kyros, od. mit demſelben, mit welchen auch Kyros (bewaffnet war).

τρεῖς ἀπὸ λαγόνων τε καὶ μηρῶν. — 5. Ὁ μὲν ἐξοστρακισμὸς ὡρισμένην εἶχε παρὰ τοῖς Ἀθηναίοις νόμῳ δεκαετίαν· ἀλλὰ πλεονάκις οἱ φεύγοντες τούτου τοῦ χρόνου οὔπω διατριφθέντος κατήχθησαν. — 6. Ἐν τοῖς Δράκοντος νόμοις μία ἅπασιν ὥριστο τοῖς ἁμαρτάνουσι ζημία, θάνατος, ὥστε διὰ αἵματος γεγράφθαι λέγονται. — 7. Δῆλόν ἐστι, πολλὰς τῶν ἐν Πελοποννήσῳ γνωριζομένων πόλεων ἐκ πλεόνων συνῳκίσθαι· οἷον τῆς Ἀρκαδίας Μαντίνεια μὲν ἐκ πέντε δήμων ὑπ' Ἀργείων συνῳκίσθη· Τεγέα δ' ἐξ ἐννέα· ἐκ τοσούτων δὲ καὶ Ἠραῖα· ὡς δ' αὕτως Αἴγιον ἐξ ἑπτὰ ἢ ὀκτὼ συνεπολίσθη· Πάτραι δὲ ἐξ ἑπτά, Δύμη δὲ ἐξ ὀκτώ. — 8. Οὕτω δὲ καὶ ἡ Ἦλις, ἣ καθ' Ὅμηρον οὔπω ἔκτιστο, ἐκ τῶν περιοικίδων συνεπολίσθη μία τούτων. — 9. Ἐπιφανὴς ἐξ ἀρχῆς ἦν Ὀλυμπία διὰ τὸ μαντεῖον τοῦ Ὀλυμπίου Διός· ἐκείνου δ' ἐκλειφθέντος, οὐδὲν ἧττον διεφυλάχθη ἡ δόξα τοῦ ἱεροῦ· καὶ ἔτι μείζων ἐγίγνετο διά τε τὴν πανήγυριν καὶ τὸν ἀγῶνα τὸν Ὀλυμπιακόν, στεφανίτην τε καὶ ἱερὸν νομισθέντα μέγιστον τῶν ἁπάντων. — 10. Ἀπόλλων καταδικασθεὶς ἐπὶ τῷ τῶν Κυκλώπων θανάτῳ καξοστρακισθεὶς[1]) διὰ τοῦτο ἐκ τοῦ οὐρανοῦ κατεπέμφθη ἐς γῆν καὶ ἐθήτευσεν ἐν Θετταλίᾳ παρ' Ἀδμήτῳ καὶ Φρυγίᾳ παρὰ Λαομέδοντι. — 11. Ὑπὸ τοῦ Δημοσθένους πλεῖστα καὶ κάλλιστα ὑπὲρ τῆς πατρίδος πέπρακται[2]) καὶ ὅσα εἰς ἀνδρὸς ἑνὸς δύναμιν καὶ λογισμὸν ἦκεν, οὐδὲν ἐλλέλειπται· ἡ γὰρ σιτοπομπεία, ὅπως παρὰ πᾶσαν φιλίαν ἄχρι τοῦ Πειραιῶς[3]) κομισθήσεται, διαπεφύλακται, καὶ τὰ ὑπάρχοντα σέσωσται καὶ ἐκπέπεμπται βοήθεια τοῖς ξυμμάχοις καὶ ταῖς ξυμμαχίαις τετείχισται ἡ χώρα· καὶ πάντα ταῦτα πάσῃ δικαιοσύνῃ αὐτῷ πεπραγμένα ἐστίν. — 12. Πέπεισο, τοῦτο μόνον σου κτῆμα εἶναι, ὃ ἂν ἔχῃς ἐντὸς

---

1) für καὶ ἐξοστρ. — 2) Contrahirt für Πειραιέως. — 3) Das Particip. aufzulösen „wenn sie nicht ꝛc.“

τῆς σῆς διανοίας. — 13. Ὁ κακοῦργος ἅλις κεκολάσθω, ἀλλ' αἱ τῆς πόλεως πύλαι κεκλείσθων αὐτῷ ἐς ἀεί. — 14. Τὰ ἐκ τῶν ἀλλοεθνῶν φοβερὰ πολλάκις τοῖς Ῥωμαίοις, ἐμφυλίῳ στάσει μὴ ταραχθεῖσιν, ἐλάττω τῆς δόξης ἐξητάσθη. — 15. Οἱ ἐν Ἅιδου δικασταὶ τοὺς μὲν ἀγαθοὺς τῶν ἀνθρώπων καὶ δικαίους ἔπεμπον εἰς τὸ Ἠλύσιον πεδίον ὡς ἀρίστῳ βίῳ συνεσομένους· τοὺς δὲ πονηροὺς ἐς τὸν τῶν ἀσεβῶν χῶρον ἐξέπεμπον, ὡς κατὰ λόγον [1]) τῆς ἀδικίας κολασθησομένους. — 19. Τοὺς ἑαυτοῦ στρατιώτας θαρσύνων Νικίας ὁ Ἀθηναῖος ἔλεξεν· Οἷς πρότερον ἐβλαπτόμεθα, πάντα καὶ ἡμῖν νῦν ἐκ τῶν παρόντων μετὰ τῶν κυβερνητῶν ἐσκεμμένα ἡτοίμασται· καὶ τὸ πλῆθος τῶν τοξοτῶν καὶ ἀκοντιστῶν ἐν τῇ ἐνθάδε ἠναγκασμένῃ ἀπὸ τῶν νεῶν πεζομαχίᾳ πρόσφορον ἔσται. — 17. Ἦν Ἀθηναίοις ποτὲ πάτριον, ἡγεμόνας εἶναι τῆς Ἑλλάδος καὶ τοῖς τυράννοις ὑπὲρ τῆς ἐλευθερίας ἀνταγωνίζεσθαι. Οὗτος ὁ νόμος ἤρξατο μὲν ἀπὸ Μιλτιάδου, ἤκμασε δὲ ἐπὶ Θεμιστοκλέους καὶ Ἀριστείδου καὶ ἐθαυμάσθη ὑπὸ Ἀλκιβιάδου. — 18. Εἰσάγεται Πλάτων ὑπὸ τοῦ Λουκιανοῦ [2]) ὡς ἐν τῇ ἀναπλασθείσῃ ὑπ' αὐτοῦ πόλει πολιτευόμενος κατὰ τὴν πολιτείαν καὶ τοὺς νόμους, οὓς συνέγραψεν αὐτός. — 19. Οἱ νέκυες ἐν τῷ Ἅιδου προσάγονται ὡς δικασθησόμενοι. Ἐδικάσθη οὖν ποτε περὶ προεδρίας Ἀλεξάνδρῳ [3]) τε τῷ Φιλίππου καὶ Ἀννίβᾳ τῷ Καρχηδονίῳ· καὶ ὁ Ῥαδάμανθυς ἐδίκασε προέχειν τὸν Ἀλέξανδρον. — 20. Κῦρος Συεννέσι τῷ Κιλίκων βασιλεῖ ἐχαρίσατο δῶρα ἃ νομίζεται παρὰ βασιλεῖ τίμια, ἵππον χρυσοχάλινον καὶ στρεπτὸν χρυσοῦν καὶ στολὴν Περσικὴν καὶ ἐκέλευσε τὴν χώραν μηκέτι ἁρπάζεσθαι, τὰ δὲ ἡρπασμένα ἀνδραπόδα κατάγεσθαι τῷ βασιλεῖ. — 21.

---

1) Gemäß. — 2) De vera historia. — Plato hat ein Werk über den Staat geschrieben. — 3) Dat. commodi. —

Τειρεσίας ὁ μάντις, Κρέοντος κελεύσαντος, ἀπὸ γῆς Ἐρεχθειδῶν [1]) ἐκκομισθεὶς εἰς Θήβας τῇ ὑστεραίᾳ ἦκε, βουλευσόμενος τῇ πατρίδι ἐν τῷ τῶν ἀδελφῶν [2]) πολέμῳ. — 22. Ὁ τῶν Ἀσσυρίων βασιλεὺς διεπέμψατο πρός τε τοὺς ὑφ' ἑαυτὸν πάντας καὶ πρὸς Κροῖσον τὸν Λυδῶν βασιλέα καὶ πρὸς τοὺς Βαβυλωνίους καὶ πρὸς Κᾶρας καὶ πρὸς Παφλαγόνας, ὡς ἀνερεθιῶν αὐτοὺς ἐπὶ τοὺς Μήδους καὶ Πέρσας· καὶ οἱ μὲν τοῖς λόγοις αὐτοῦ πεισθέντες σύμμαχοι γίγνονται, οἱ δὲ καὶ δώροις καὶ χρήμασιν ἀναπεισθέντες. — 23. Οἱ ἔφοροι πρῶτον ἐπείσθησαν ὑπὸ Κλεομένους, αὐτῷ ψηφίσασθαι πρὸς Ἀχαιοὺς στρατείαν, ἔπειτα δὲ παρελύθησαν τῆς ἀρχῆς. — 24. Ἐρατοσθένης ὁ Κυρηναῖος λέγει πάντα ὅσα ἐς τὸ θεῖον ἀναφέρεται ἐκ Μακεδόνων, πρὸς χάριν τὴν Ἀλεξάνδρου ἐς τὸ ὑπέρογκον ἐπιφημισθῆναι, καὶ μύθους πολλοὺς τούτου ἕνεκα πεπλάσθαι. —

B. Medium.

3. Tempora Secunda (Aor. II.).

1. Ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ, ἐπεὶ αἱ πρῶται νῆες ἐς φυγὴν ἐτράποντο, ἐνταῦθα αἱ πλεῖσται διεφθείροντο· οἱ γὰρ ὄπισθεν τεταγμένοι, ἐς τὸ πρόσθεν ἐλαύνοντες, ὡς ἀποδειξόμενοί τι καὶ αὐτοὶ ἔργον βασιλεῖ, ταῖς ἑαυτῶν ναυσὶ φευγούσαις περιέπιπτον. — 2. Ὡς οἱ μύριοι Ἕλληνες ἐγίγνωσκον, ἄριστον εἶναι, ἕνα ἔχειν ἄρχοντα, ἐτράποντο ἐπὶ τὸν Ξενοφῶντα· καὶ οἱ λοχαγοὶ ἔλεγον προσερχόμενοι αὐτῷ, ὅτι ἡ στρατιὰ οὕτω γιγνώσκει· καὶ εὔνοιαν χαριζόμενος ἕκαστός τις ἔπειθεν αὐτὸν ὑποδέξασθαι τὴν ἀρχήν. — 3. Ὁ Ξενοφῶν, ὡς ἐμηνύθη τὰ γιγνόμενα, δείσας μὴ ἐφ' ἁρ-

---

1) Athener. — 2) Des Eteokles und Polyneikes, der Söhne des Oedipus.

παγὴν τράποιτο τὸ στράτευμα καὶ ἡ πόλις[1]) ὑβρισθείη, εὐθὺς συνεισπίπτει εἴσω τῶν πυλῶν σὺν τῷ ὄχλῳ, ὡς κατηρεμιῶν τοὺς στρατιώτας. — 4. Κλέαρχος, ἀνὴρ καὶ πολεμικὸς καὶ φιλοπόλεμος, ὡς ἐδέξατο ἀπὸ Κύρου μυρίους δαρεικούς, οὐκ ἐπὶ ῥᾳθυμίαν τραπόμενος, ἀλλ' ἀπὸ τούτων τῶν χρημάτων συλλέξας στράτευμα ἐπεστρατεύσατο ἐπὶ τοὺς Θρᾷκας. — 5. Καμβύσου λέγειν κελεύσαντος, ποῖόν τινα αὐτὸν νομίζουσι Πέρσαι εἶναι ἄνδρα, Κροῖσος παρὼν ἔλεξε· Κατὰ γε τὴν ἐμὴν γνώμην οὐχ ὁμοῖος εἶ τῷ πατρί· οὔπω γάρ σοί ἐστιν υἱός, οἷόν σε ἐκεῖνος κατελίπετο. — 6. Μιλτιάδης μόνος τῶν ἐνδόξων ἀνδρῶν κατελίπετο υἱὸν ὁμοῖον τῷ πατρὶ ἢ μείζω αὐτοῦ· τῶν δὲ πλείστων ἐνδόξων ἀνδρῶν μόγις τὰ ὀνόματα τῶν παίδων γιγνώσκομεν. —

C. *Passivum.*

3. Tempora Secunda (Aor. II. und Fut. II.).

1. Ἀγησίλαος, ὁ Ἄγιδος θεῖος, δυνατὸς λέγειν, ἄλλως δὲ μαλακὸς καὶ φιλοχρήματος ὤν, ἀνεπείσθη τῶν ὑπὸ τοῦ Ἄγιδος[2]) πραττομένων μετέχειν ὀφλημάτων πλήθει, ὧν ἤλπιζεν ἀπαλλαγήσεσθαι μεταβάλλων τὴν πολιτείαν. — 2. Ὡς ὁ Κλεομένης συντόνως ὁδεύσας, ἵνα ἐν Λέρνῃ σὺν τοῖς Ἀχαιοῖς διαλέξαιτο καὶ τοὺς αἰχμαλώτους καὶ τὰ[3]) χωρία ἀποδέξαιτο, παρα καιρὸν ὕδατος ἐγεύσατο, ἡ φωνὴ πλήθει αἵματος ἀναφερομένου ἀπεκόπη. — 3. Ὕλας, ὁ Θειοδάμαντος παῖς, ἐν Μυσίᾳ ἀποπεμφθεὶς ὑδρεύσασθαι, διὰ τὸ κάλλος ὑπὸ Νυμφῶν ἁρπαγῆναι λέγεται. — 4. Ὀρόντης, Πέρσης ἀνήρ, γένει τε προσήκων βασιλεῖ καὶ τὰ πολέμια

---

1) Βυζάντιον. — 2) Vergl. p. 5, Anm. 87. — 3) d. h. die schon früher bestimmten.

λεγόμενος [1]) ἐν τοῖς ἀρίστοις Περσῶν, ἐπιβουλεύει τῷ Κύρῳ, πρόσθεν πολέμιος, καταλλαγεὶς δέ, καὶ λέγει, εἰ χιλίους ἱππέας ἔχοι, ὅτι τοὺς βασιλέως ἱππέας κωλύσειεν ἂν τοῦ κατακαίειν τὰς κώμας. Ἀλλ' ἡ προδοσία αὐτοῦ ἐμηνύθη τῷ Κύρῳ διὰ πιστοῦ ἀνδρός. — 5. Ὅταν τις ἡγεμὼν ἀποδειχθεὶς ὑπὸ δήμου, τῶν ἔξω ἐχθρῶν τοῖς μὲν καταλλαγῇ, τοὺς δὲ κατασιρέψηται, αὐτὸς δὲ τῆς ἀρχῆς οὐ βούληται παύεσθαι, ἄλλους τινὰς ἀνερεθιεῖ πολεμίους, ἵν' ἐν χρείᾳ ἡγεμόνος ὁ δῆμος ᾖ. — 6. Ἀρτάβαζος, εἷς τῶν Περσῶν ἡγεμόνων, φεύγων ἐκ Πλαταιῶν καὶ ἐπειγόμενος ἐς Βυζάντιον ἦκε, καταλιπὼν τοῦ στρατοῦ συχνοὺς ὑπὸ Θρᾳκῶν τε κατακοπέντας καθ' ὁδὸν καὶ κατατριβέντας λιμῷ καὶ καμάτῳ. — 7. Οἱ Θρᾷκες ἐσπίπτοντες ἐς τὴν Μυκαλησσὸν τοὺς ἀνθρώπους ἐφόνευον φειδόμενοι οὔτε πρεσβυτέρας οὔτε νεωτέρας ἡλικίας, ἀλλὰ πάντας ἐξῆς· καὶ παῖδες, ὧν ἦν αὐτόθι διδασκαλεῖον μέγιστον, κατεκόπησαν πάντες. — 8. Αἰσχύλος ὁ ποιητής, τηλικαύτην δόξαν ἔχων διὰ τὴν ποιητικήν, οὐδὲν ἧττον [2]) ἐπὶ τοῦ τάφου ἐπιγραφῆναι ἐκέλευσε μᾶλλον τὴν ἀνδρείαν τὴν ἐν Μαραθῶνι καὶ τὴν ἐν Σαλαμῖνι [3]). — 9. Αἰακὸς εὐσεβέστατος ἦν ἁπάντων τῶν ἀνθρώπων. Διὸ καὶ τὴν Ἑλλάδα κατεχούσης ποτὲ ἀφορίας χρησμοὶ θεῶν ἔλεγον, ἀπαλλαγήσεσθαι τῶν παρόντων κακῶν τὴν Ἑλλάδα, ἐὰν Αἰακὸς ὑπὲρ τῆς χώρας εὔξηται. Εὐξαμένου δὲ τοῖς θεοῖς Αἰακοῦ τῆς ἀκαρπίας ἡ Ἑλλὰς ἀπηλλάγη. — 10. Οἱ Χάλυβες ᾤχοντο ἐν τοῖς ὀχυροῖς καὶ τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένοι ἦσαν, ὥστε μηδὲν λαμβάνειν αὐτόθεν τοὺς Ἕλληνας, ἀλλὰ διετράφησαν τοῖς κτήνεσιν, ἃ ἐκ

---

1) Und in Kriegsthaten genannt d. h. ausgezeichnet . . . . . 2) οὐδὲν ἧττον nichts deſto weniger. 3) im Deutſchen fügt man das Particip „bewieſen" hinzu.

τῶν Ταόχων ἥρπασαν. — 11. Τόξαρις ὁ Σκύθης ὑπ' Ἀθηναίων εἰς τοὺς Ἀττικοὺς ἥρωας ἐγκατελέγη. — 12. Ἡρακλῆς ἐν τῇ Οἴτῃ κατεφλέγη· καιομένης δὲ τῆς πυρᾶς λέγεται νέφει μετὰ βροντῆς εἰς οὐρανὸν ἀποπεμφθῆναι καὶ διαλλαγεὶς τῇ Ἥρᾳ τὴν ἐκείνης θυγατέρα Ἥβην νυμφεύσασθαι. — 13. Ἀχιλλεὺς παρὰ τῷ Κενταύρῳ Χείρωνι σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς ἐτράφη. — 14. Ὁ κήρυξ τῶν Ἀμπρακιωτῶν ὡς ἤκουσεν, ὅτι ἡ ἀπὸ τῆς πόλεως βοήθεια ὅλη συντέτριπται, ἀνοιμώξας καὶ ἐκπλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν εὐθὺς ἄπρακτος ἀπῴχετο· πάθος γὰρ τοῦτο μιᾷ πόλει Ἑλληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ τὸν πόλεμον τόνδε γίγνεται [1]). — 15. Ὡς οἵ τε Ἀργεῖοι καὶ οἱ ξύμμαχοι, ἤδη ἐν τάξει ὄντες ἐπέρχονται, οἱ Λακεδαιμόνιοι μάλιστα ἐξεπλάγησαν, ὅτι διὰ βραχείας μελλήσεως ἡ παρασκευὴ αὐτοῖς ἐγίγνετο. — 16. Συλλεγέντων τῶν ξυμμάχων εἰς Λακεδαίμονα, λόγοι ἐγίγνοντο ἀπὸ τῶν συμμάχων, ὅτι διὰ μαλακίαν [2]) κατατριβήσοιντο ὑπὸ τοῦ πολέμου. — 17. Οἱ τοῦ Σόλωνος νόμοι κατεγράφησαν εἰς ξυλίνους ἄξονας, ὧν ἔτι καθ' ἡμᾶς ἐν Πρυτανείῳ λείψανα μικρὰ διεσώζετο, καὶ προσηγορεύθησαν κύρβεις. — 18. Τῇ μάχῃ τῇ περὶ τὴν καλουμένην Θρασυνίαν λίμνην τῆς Τυρρηνίας Φλαμίνιος ὁ ὕπατος πολλὰ καὶ τόλμης ἔργα καὶ ῥώμης ἀπεργασάμενος κατεσφάγη καὶ περὶ αὐτὸν οἱ κράτιστοι· τῶν δ' ἄλλων τραπέντων πολὺς ἦν φόνος καὶ πεντακισχίλιοι πρὸς μυρίοις κατεκόπησαν. —

---

1) Während nämlich sich die Ambrakioten die in einem Gefechte Gefallenen von den Feinden zur Bestattung ausbitten wollten, erfuhren sie, daß ein anderes von ihnen ausgesandtes Heer ganz vernichtet sei. — 2) Die Bundesgenossen beklagten sich über die Schlaffheit, mit der der Krieg von Seiten der Spartaner gegen die Athener und Thebaner (unter Epaminondas) geführt wurde.

Erzählungen.

1. Kürzere Erzählungen, Anekdoten u. s. w.

1. *Κῦρος ὁ πρεσβύτερος ἔλεγεν, ἑτέροις ἀναγκάζεσθαι ταγαθὰ πορίζειν τοὺς αὐτοῖς μὴ θέλοντας* [1]· *ἄρχειν δὲ μηδενὶ προσήκειν, ὃς οὐ κρείττων ἐστὶ τῶν ἀρχομένων.* — 2. *Δαρεῖος ὁ Ξέρξου πατὴρ ἑαυτὸν ἐγκωμιάζων ἔλεγεν, ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινὰ γίγνεσθαι φρονιμώτερος.* — 3. *Τοὺς δὲ φόρους τοῖς ὑπηκόοις τάξας, μετεπέμψατο τοὺς πρώτους τῶν ἐπαρχῶν καὶ περὶ τῶν φόρων ἠρώτησε, μὴ* [2] *βαρεῖς εἰσι· φασκόντων δὲ μετρίως ἔχειν, ἐκέλευσεν ἐπιτάξαι τοὺς ἡμίσεις ἕκαστον.* — 3. *Ἀλέξανδρος ἔτι παῖς ὤν, πολλὰ τοῦ Φιλίππου καταπράξαντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας, Ἐμοὶ δὲ* [3] *ὁ πατὴρ οὐδὲν ἀπολείψει. Τῶν δὲ παίδων λεγόντων ὅτι, Σοὶ ταῦτα διαπέπρακται, ἔλεξεν ὅτι, Τί δὲ ὄφελος, ἐὰν ἔχω μὲν πολλά, πράξω δὲ μηδέν;* — 4. *Ἱφικράτης ὁ Ἀθηναῖος, υἱὸς εἶναι σκυτοτόμου νομιζόμενος, πρὸς Ἁρμόδιον, τὸν τοῦ παλαιοῦ Ἁρμοδίου ἀπόγονον, δυσγένειαν αὐτῷ ὀνειδίσαντα, ἔλεξε, Τὸ μὲν ἐμὸν ἀπ' ἐμοῦ γένος ἄρχεται, τὸ δὲ σὸν ἐν σοὶ παύεται.* — 5. *Ὀργιζομένων τοῖς Βυζαντίοις τῶν Ἀθηναίων, ὅτι οὐκ ἐδέξαντο τῇ πόλει Χάρητα πεμφθέντα μετὰ δυνάμεως βοηθὸν αὐτοῖς πρὸς Φίλιππον, ἐκέλευσεν ὁ Φωκίων μὴ ὀργίζεσθαι τοῖς ξυμμάχοις στρατηγὸν ἄπιστον ὄντα οὐ δεξαμένοις, ἀλλὰ τῷ στρατηγῷ οὐ πιστευομένῳ. Διὸ οἱ Ἀθηναῖοι αὐτὸν ἀποδείξαντες στρατηγὸν ἔπεμψαν ὡς Βυζάντιον· τῶν δὲ Βυζαντίων δεξαμένων, ὁ Φωκίων ἠνάγκασε τὸν Φίλιππον ἄπρακτον ὑποστρέψαι.* —

---

1) Ergänze „πορίζειν". — 2) = ob nicht. — 3) Zu erklären durch einen nicht ausgesprochenen Gedanken: „das ist ganz schön" oder dergl.

6. *Μενεκράτους τοῦ ἰατροῦ, Διὸς προσαγορευομένου, γράψαντος ἐπιστολὴν πρὸς Ἀγησίλαον, Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρειν, ἀντέγραψε, βασιλεὺς Ἀγησίλαος Μενεκράτει ὑγιαίνειν.* — 7. *Ἀθηναίου τινὸς πρὸς Ἀνταλκίδαν λέξαντος, Ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ Κηφισσοῦ πολλάκις ὑμᾶς ἐδιώξαμεν, ἐκεῖνος ἔλεξεν, ὅτι Ἡμεῖς οὐδέποτε ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα.* — 8. *Σοφιστοῦ δὲ μέλλοντος ἀναγιγνώσκειν ἐγκώμιον Ἡρακλέους, ἔλεξε, Τίς γὰρ αὐτόν ψέγει;* — 9. *Ἀγησίλαος μεταπεμφθεὶς ὑπὸ τῶν ἐφόρων ἐπορεύθη διὰ τῆς Θρᾴκης εἰς Μακεδονίαν καὶ πέμψας πρὸς τὸν τῶν Μακεδόνων βασιλέα ἐπυνθάνετο, πότερον ὡς φιλίαν ἢ ὡς πολεμίαν διαπορεύηται* [1]) *τὴν χώραν. Φάσκοντος δ' ἐκείνου βουλεύεσθαι, ὁ Ἀγησίλαος ἔλεξεν, Βουλεύεσθω τοίνυν, ἡμεῖς δὲ πορευσόμεθα. Θαυμάσας οὖν τὴν τόλμαν καὶ δείσας, ὡς φίλον ἐδέξατο.* — 10. *Λάκαινά τις ἀκούσασα περὶ τοῦ υἱοῦ, ὡς κακῶς ἐπὶ τῆς ξένης ἀναστρέφοιτο, ἔγραψε· Κακὴν δόξαν ἔχεις· ταύτην ἀφάνισον ἢ κατάλιξον τοῦ βίου.* — 11. *Ζωγράφος ἄθλιος Ἀπελλῆ ἔδειξεν εἰκόνα λέγων, Ταύτην νῦν* [2]) *γέγραφα. Ὁ δ' ἔλεξε, Καὶ ἢν μὴ λέγῃς, γιγνώσκω, ὅτι ταχὺ γέγραπται· θαυμάζω δέ, πῶς οὐχὶ τοιαύτας πλείους γέγραφας.* — 12. *Πλάτων ὀργισθεὶς ποτέ τινι τῶν δούλων, χάριν ἔχειν τοῖς θεοῖς ἐκέλευεν αὐτόν, ὅτι ὀργίζεται· κολασθῆναι γὰρ ἂν πάντως, εἰ μὴ ὠργίζετο.* — 13. *Λυκούργῳ* [3]), *τῷ Λυκόφρονος, τῷ ῥήτορι, ἐπορίσθη τάλαντα ἐς τὸ δημόσιον τῶν Ἀθηναίων, πεντακοσίοις* [4]) *πλείονα καὶ ἑξακισχιλίοις, ἢ ὅσα Περικλῆς ὁ Ξανθίππου, συνέλεξεν.* — 14. *Ἐν Ψωφίδι, πόλει Ἀρκαδίας, τέθαπται Ἀλκμαίων, ὁ Ἀμφιαράου, καὶ περὶ τὸ μνῆμα κυπάρισσοι πεφύκασιν ἐς τοσοῦτον ὕψος ἀνήκουσαι, ὥστε*

1) ob er — sollte. — 2) Eben, wird durch das folgende ταχύ erklärt. — 3) Dat. der wirkenden Person beim Passiv. — 4) Dat. comparationis = um.

καὶ τὸ ὄρος, τὸ πρὸς τῇ Ψωφίδι, κατεσκευάζετο ὑπ' αὐτῶν. — 15. Δένδρα τινά ἐστι μεγάλα τῆς Ἰνδικῆς, ὧν τοὺς κλάδους πεφυκότας ἐπὶ πήχεις δώδεκα ἔπειτα κατακάμπτεσθαι λέγουσιν, ἕως ἂν ἅψωνται τῆς γῆς· τὸ δὲ μέγεθος ἄλλων τοσοῦτον, ὥςθ' ὑφ' ἑνὶ δένδρῳ μεσημβρίζειν σκιαζομένους ἱππέας τετρακοσίους. — 16. Ἀλεξάνδρῳ οὐ παντελῶς ἤρεσκεν ἡ ἑαυτοῦ εἰκὼν ἡ ὑπὸ Ἀπελλοῦ γραφεῖσα. Εἰςαχθέντος δὲ τοῦ ἵππου καὶ χρεμετίσαντος πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι, ὡς πρὸς ἀληθινὸν καὶ ἐκεῖνον, ἔλεξεν ὁ Ἀπελλῆς, Ὦ βασιλεῦ, ἀλλ' ὄγε ἵππος κινδυνεύει σου γραφικώτερος εἶναι κατὰ πολύ*). — 17. Κρῆτες τοὺς ἐλευθέρους μανθάνειν τοὺς νόμους ἐκέλευον μετά τινος μελῳδίας, ἵνα τῇ μουσικῇ τέρπωνται καὶ εὐκολώτερον αὐτοὺς τῇ μνήμῃ παραλαμβάνωσι, καὶ ἵνα μή, τῶν κεκωλυμένων τι πράξαντες, ἀγνοίᾳ πεπραχέναι ἀπολογίαν ἔχωσι. Δεύτερον δὲ μάθημα ἔταξαν, τοὺς τῶν θεῶν ὕμνους μανθάνειν· τρίτον τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἐγκώμια. —

2. Telesilla, Befreierinn ihrer Vaterstadt Argos.

Ἔνδοξόν ἐστι τῶν κοινῇ διαπεπραγμένων γυναιξὶν ἔργων ὁ πρὸς Κλεομένη περὶ Ἄργους ἄγων, ὃν ἠγωνίσαντο, Τελεσίλλης τῆς ποιητρίας προτρεψαμένης. Ταύτην δὲ λέγουσιν οἰκίας οὖσαν ἐνδόξου, τῷ δὲ σώματι νοσηματικήν, εἰς θεοὺς πέμψαι περὶ ὑγιείας, καὶ κελευσθῆναι Μούσας θεραπεύειν· πειθομένην δὲ τῇ θεῷ καὶ σπουδάσασαν περὶ ᾠδὴν καὶ ἁρμονίαν, τοῦ τε πάθους ἀπαλλαγῆναι ταχύ, καὶ θαυμάζεσθαι διὰ ποιητικὴν ὑπὸ τῶν γυναικῶν. Ἐπεὶ δὲ Κλεομένης ὁ βασιλεὺς τῶν Σπαρτιατῶν μετὰ τὴν τῶν Ἀργείων ἧτταν ἐβάδιζε πρὸς τὴν πόλιν, ὁρμὴ καὶ τόλμα δαιμόνιος λαμβάνει

*) Um Vieles.

τὰς ἁρπαζούσας τῶν γυναικῶν, ἀμύνεσθαι τοὺς πολεμίους ὑπὲρ τῆς πατρίδος. Ἀρχούσης δὲ τῆς Τελεσίλλης ὅπλα λαμβάνουσι καὶ κύκλῳ τὰ τείχη περιέστεψαν, ὥστε θαυμάζειν τοὺς πολεμίους. Καὶ οὕτως τόν τε Κλεομένην ἀπεκρούσαντο, καὶ τὴν πατρίδα ἀπελύσαντο.

3. Kindliche Liebe.

Ἐμφανέστατοί εἰσι καὶ πᾶσι διὰ στόματος Κλέοβις καὶ Βίτων, οἱ Ἀργεῖοι νεανίσκοι. Λέγουσι γάρ, μητρὸς αὐτῶν ἱερείας οὔσης τῆς Ἥρας, ἐπειδὴ τῆς εἰς τὸν νεὼν ἀναβάσεως ἦκεν ὁ καιρός, τῶν ἑλκόντων τὴν ἁπήνην ἡμιόνων χρονισάντων, καὶ τῆς ὥρας ἐπειγούσης, τούτους τὴν μητέρα ἐν τῇ ἁπήνῃ εἰς τὸ ἱερὸν ἀγαγεῖν· τὴν δὲ μητέρα ὑπερησθεῖσαν [1]) τῇ τῶν υἱῶν εὐσεβείᾳ κατεύξασθαι τὸ κράτιστον αὐτοῖς παρὰ τῆς θεοῦ πορίζεσθαι τῶν ἐν ἀνθρώποις· τοὺς δὲ κατακοιμισθέντας οὐκέτι ἐγρηγορέναι [2]), τῆς θεοῦ τὸν θάνατον αὐτοῖς τῆς εὐσεβείας ἀμοιβὴν πορισάσης. —

4. Die Herrschaft des Kyros.

Τὴν ἀρχὴν ὥριζε τῷ Κύρῳ πρὸς ἕω μὲν ἡ ἐρυθρὰ θάλαττα, πρὸς ἄρκτον ὁ Εὔξεινος πόντος, πρὸς ἑσπέραν δὲ Κύπρος καὶ Αἴγυπτος, πρὸς μεσημβρίαν δὲ Αἰθιοπία. Αὐτὸς δὲ ἐν μέσῳ τούτων τὸν μὲν ἀμφὶ τὸν χειμῶνα χρόνον διῆγεν ἐν Βαβυλῶνι ἑπτὰ μῆνας· αὕτη γὰρ ἀλεινὴ ἡ χώρα· τὸν δὲ ἀμφὶ τὸ ἔαρ τρεῖς μῆνας ἐν Σούσοις· τὴν δὲ ἀκμὴν τοῦ θέρους δύο μῆνας ἐν Ἐκβατάνοις· οὕτω αὐτὸν λέγουσιν ἐν ἐαρινῷ θάλπει καὶ ψύχει διάγειν ἀεί. —

5. Seeschlacht bei den arginusischen Inseln.

Ὁ Καλλικρατίδας [3]) ὁ τῶν Λακεδαιμονίων ναύαρ-

1) ὑπερήδομαι. 2) ἐγείρω. 3) Kallikratidas hatte den

χος ἀκούων τὴν βοηθείαν ἤδη ἐν Σάμῳ οὖσαν, ἐν μὲν τῷ λιμένι τῆς Μυτιλήνης κατέλιπε πεντήκοντα ναῦς καὶ ἄρχοντα Ἐτεόνικον· ταῖς δὲ εἴκοσι καὶ ἑκατὸν ἀναχθεὶς κατεσκευάζετο τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ, ἀντίον τῆς Μυτιλήνης. Τῇ δ' αὐτῇ ἡμέρᾳ ἐτύγχανον καὶ οἱ Ἀθηναῖοι δεῖπνον κατασκευαζόμενοι ἐν ταῖς Ἀργινούσαις· αὗται δ' εἰσὶν ἀντίον τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ, ἀντίον τῆς Μυτιλήνης. Τῆς δὲ νυκτὸς τῶν πυρῶν καιομένων, καί τινων αὐτῷ ἐξαγγελλόντων, ὅτι Ἀθηναῖοι εἶεν, ἀνήγετο περὶ μέσας νύκτας, ὡς ἐξαπιναίως προσπίπτοι· ὕδωρ δ' ἐξ οὐρανοῦ πολὺ πεμφθὲν καὶ βρονταὶ διεκώλυσαν τὴν ἀναγωγήν. Ἅμα δὲ τῇ ἡμέρᾳ ἀνήγετο ἐπὶ τὰς Ἀργινούσας.

Οἱ δ' Ἀθηναῖοι ἀντανήγοντο ἐς τὸ πέλαγος τῷ εὐωνύμῳ, παρατεταγμένοι ὧδε· Ἀριστοκράτης [1]) μέν, τὸ εὐώνυμον ἔχων, ἦγε πεντεκαίδεκα ναυσί· μετὰ δὲ ταῦτα Διομέδων ἑτέραις πεντεκαίδεκα· ἐπετέτακτο δὲ Ἀριστοκράτει μὲν Περικλῆς, Διομέδοντι δὲ Ἐρασινίδης· παρὰ δὲ Διομέδοντα οἱ Σάμιοι, δεκὰ ναυσὶν ἐπὶ μιᾶς [2]) τεταγμένοι· ἦρχε δὲ αὐτῶν Σάμιος, ὀνόματι Ἵππεύς· ἐχόμεναι δὲ τῶν ταξιάρχων δέκα, καὶ αὗται [3]) ἐπὶ μιᾶς· ἐπὶ δὲ ταύταις αἱ τῶν ναυάρχων τρεῖς, καὶ εἴ τινες ἄλλαι ἦσαν ξυμμαχίδες. Τὸ δὲ δεξιὸν κέρας Πρωτόμαχος εἶχε πεντεκαίδεκα ναυσί· παρὰ δ' αὐτὸν Θρασύλος ἑτέραις πεντεκαίδεκα· ἐπετέτακτο δὲ Πρωτομάχῳ μὲν Λυσίας, ἔχων τὰς ἴσας [4]) ναῦς· Θρασύλῳ

Konon, den Admiral der Athener, bei Lesbos geschlagen und im Hafen von Mytilene eingeschlossen; zu seiner Befreiung schicken die Athener eine Flotte von 150 Schiffen nach, mit welchen Kallikratidas bei den Arginusen, kleinen Inseln zwischen Lesbos und der asiatischen Küste, kämpft, im Jahre 406 v. Chr.

1) Aristokrates und die folgenden sind atheniſche Feldherrn. 2) ein Schiff hinter dem andern. 3) καὶ αὐτός etc. ebenfalls (lat. et ipse). 4) die gleiche Anzahl d. h. eben ſoviel.

δὲ Ἀριστογένης. Οὕτω δὲ ἐτάχθησαν, ἵνα μὴ διέκπλουν παρέχοιεν· χεῖρον γὰρ ἔπλεον. Αἱ δὲ τῶν Λακεδαιμονίων ἀντιτεταγμέναι ἦσαν ἅπασαι ἐπὶ μιᾶς, ὡς πρὸς διέκπλουν καὶ περίπλουν παρεσκευασμέναι, ὅτι βέλτιον ἔπλεον. Εἶχε δὲ τὸ δεξιὸν κέρας Καλλικρατίδας. Μετὰ δὲ ταῦτα ἐμάχοντο ναυμαχίᾳ χρόνον πολύν, πρῶτον μὲν ἀθρόαι, ἔπειτα δὲ διεσκεδασμέναι. Ἐπεὶ δὲ Καλλικρατίδας τε, τῇ τῆς νεὼς ἐμβολῇ ῥιφθεὶς ἐς τὴν θάλατταν, ἠφανίσθη, Πρωτόμαχός τε καὶ οἱ μετ' αὐτοῦ τῷ δεξιῷ τὸ εὐώνυμον ἐτρέψαντο, ἐντεῦθεν τῶν Πελοποννησίων οἱ μὲν ἐς Χίον, πλεῖστοι δὲ καὶ ἐς Φώκαιαν ἔφυγον. —

6. Das thessalische Tempe.

Φέρε οὖν καὶ τὰ καλούμενα Τέμπη τὰ Θετταλικὰ διαγράψωμεν τῷ λόγῳ καὶ διαπλάσωμεν. Ἔστι δὴ χῶρος μεταξὺ κείμενος τοῦ τε Ὀλύμπου καὶ τῆς Ὄσσης· ὄρη δὲ ταῦτ' ἔστιν ὑπερύψηλα, καὶ οἷον ὑπό τινος θείας φροντίδος διεσχισμένα, καὶ μέσον δέχεται χωρίον, οὗ τὸ μὲν μῆκος ἐπὶ τεσσαράκοντα διήκει σταδίους, τό γε μὴν πλάτος τῇ μέν ἐστι πλέθρου, τῇ δὲ καὶ πλεῖον ὀλίγῳ. Εἰς Πηνειὸν τὸν διαῤῥέοντα μέσου αὐτοῦ καὶ οἱ λοιποὶ ποταμοὶ συῤῥέουσι καὶ ἐργάζονται αὐτὸν μέγαν. Διατριβὰς δ' ἔχει ποικίλας καὶ παντοδαπὰς ὁ τόπος οὗτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα, ὡς εἰς κάλλος ἐρισάσης [1]), ὅτε ἐλάμβανε γένεσιν ὁ χῶρος. Κισσὸς μὲν γὰρ πολὺς καὶ εὐμάλα λάσιος ἐνακμάζει καὶ θάλλει καὶ δίκην [2]) τῶν εὐγενῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων ἀνέρπει,

---

1) Als ob sie in Bezug auf Schönheit gewetteifert hätte d. i. Schönheit verschwendet hätte. — 2) Nach Art, wie, c. G., ein adverbieller Accusat.

καὶ συμπέφυκεν αὐτοῖς· πολλὴ δὲ σμίλαξ, ἡ μὲν πρὸς αὐτὸν τὸν πάγον ἀνατρέχει καὶ ἐπισκιάζει τὴν πέτραν, φαίνεται δὲ τὸ χλοάζον πᾶν καί ἐστιν ὀφθαλμῶν πανήγυρις. Ἐν αὐτοῖς δὲ τοῖς λείοις ἄλση τέ ἐστι ποικίλα καὶ ὑποδρομαὶ συνεχεῖς, ἐν ὥρᾳ θέρους καταφεύγειν ὁδοιπόροις ἥδιστα καταγώγια, ἃ καὶ παρέχει καταψύχεσθαι. Διαῤῥέουσι δὲ καὶ κρῆναι συχναὶ καὶ νάματα ὑδάτων ψυχρῶν καὶ πίνειν ἡδίστων. Λέγεται δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λουσαμένοις ἀγαθὰ εἶναι καὶ εἰς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. Κατᾴδουσι δὲ καὶ ὄρνιθες ἄλλος ἄλλῃ [1]), καὶ μάλιστα οἱ μουσικοί, καὶ τέρπουσιν εὖ μάλα τὰς ἀκοὰς καὶ παραπέμπουσιν ἀπόνως καὶ σὺν ἡδονῇ, διὰ τοῦ μέλους τὸν κάματον τῶν πορευομένων ἀφανίσαντες. Παρ' ἑκάτερα δὲ τοῦ ποταμοῦ αἱ διατριβαί εἰσιν καὶ αἱ ἀναπαῦλαι· διὰ μέσων δὲ τῶν Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ἔρχεται, σχολῇ καὶ πρᾴως ῥέων. Πολλὴ δὲ κατ' αὐτοῦ ἡ σκιὰ ἐκ τῶν παραπεφυκότων δένδρων τίκτεται· ὡς ἐπὶ πλεῖστον [2]) τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀποστέγειν τὴν ἀκτῖνα καὶ παρέχειν τοῖς πλέουσι πλοῦν κατὰ ψύχος. Πάντες δὲ οἱ περίοικοι λεῳ συνέρχονται, ἄλλοι σὺν ἄλλοις, καὶ θύουσι καὶ συμπίνουσιν. Ἅτε οὖν πολλῶν ὄντων τῶν θυόντων καὶ τῶν καθαγιζομένων συνεχῶς, εἰκότως καὶ τοὺς βαδίζοντας καὶ τοὺς πλέοντας ὀσμαὶ παραπέμπουσιν ἥδισται. Θύσαντες δὲ μεγαλοπρεπῶς ἐν τοῖς Τέμπεσι, πάλιν ἀπέρχονται στεφάνους ἀπὸ τῆς τοῦ θεοῦ [3]) δάφνης διαπλέξαντες. —

---

1) Der eine hier, der andere da. — 2) Den größten Theil des Tages. — 3) des Apollo, der nach der Erlegung des pythischen Drachen zu Delphi sich mit dem Lorbeer aus diesem Thale als Sieger schmückte.

X. Verba liquida.

A. Activum.

1. Εἰ οὕτως ἀφρόνως πράττετε, τοὺς χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. — 2. Τὸ μὲν ὕδωρ πολὺ μὲν καὶ βίᾳ ἐξ οὐρανοῦ ἐπιγιγνόμενον φθερεῖ τὸ πεδίον, μαλακῶς δὲ ἀνυγρανεῖ καὶ εὐκάρπους φύσει τοὺς ἀγρους. — 3. Οὐχ ὁ ἱερεύς, εἰ τὰ σφάγια ἀποκτείνει, ἀλλὰ σύ, εἰ τὸν ἱκέτην ἀποκτενεῖς, τὸν νεὼν καὶ τοὺς βωμοὺς μολυνεῖς. — 4. Οἱ Λάκωνες τὴν τῆς παλαιᾶς διαίτης σκληρότητα καταλύσαντες, ἐξώκειλαν εἰς τρυφήν. — 5. Οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατόν, οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ. — 6. Διόνυσος Λυκούργῳ τῷ Ἠδωνῶν βασιλεῖ μανίαν ἐνέβαλεν. Ὁ δὲ μεμηνὼς Δρύαντα τὸν παῖδα, ἀμπέλου νομίζων κλῆμα κτεῖναι, πελέκει πλήξας ἀπέκτεινεν. — 7. Μήδεια, ἀποκτείνασα τοὺς ἑαυτοῦ παῖδας, ἐφ' ἅρματος δρακόντων πτερωτῶν ἐκ Κορίνθου εἰς Ἀθήνας φυγεῖν λέγεται. — 8. Σόλων τῆς εὐδαιμονίας τὰ μὲν πρωτεῖα Τέλλῳ τῷ Ἀθηναίῳ ἔνειμεν, ὅτι αὐτῷ, τῆς πόλεως εὖ ἠκούσης*), παῖδες ἦσαν καλοί τε κἀγαθοί, καὶ πάντα ταῦτα παρέμεινε μέχρι τελευτῆς τοῦ βίου λαμπροτάτης. — 9. Ἐτεοκλῆς καὶ Πολυνείκης, περὶ τῆς βασιλείας ἐρίζοντες, μονομαχίᾳ ἀλλήλους ἀπέκτειναν. — 10. Ὁ πλοῦτος Τίμωνι τῷ Ἀθηναίῳ μυρίων κακῶν αἴτιος ἦν, μῖσος ἐγείρας καὶ ἡδυπαθείᾳ διαφθείρας καὶ ἐπίφθονον ἀποφήνας. — 11. Σαρδανάπαλος ὁ ἔσχατος τῶν Ἀσσυρίων βασιλεὺς ὑπερῆρεν ἅπαντας τοὺς πρὸ αὐτοῦ τρυφῇ καὶ ῥαθυμίᾳ. — 12. Πεισίστατος, τὸ τρίτον τυραννεύσας, τὴν Νάξον κατεστρέψατο πολέμῳ καὶ ἐπέ-

*) Während der Staat sich in einer glücklichen Lage befand.

τρεψε δὲ Ἀυγδάμι· πρὸς δ' ἔτι τούτοις τὴν νῆσον Δῆλον, καθήρας ἐκ τῶν λογίων· ἐκάθηρε δὲ ὧδε· ἐφ' ὅσον ἔποψις τοῦ ἱεροῦ εἶχεν [1]), ἐκ τούτου τοῦ χώρου παντὸς ἐξορύξας τοὺς νεκροὺς μετέφερεν ἐς ἄλλον χῶρον τῆς Δήλου. Ὕστερον δέ, τῷ ἔκτῳ τοῦ Πελοποννησιακοῦ πολέμου ἔτει, πᾶσαν ἐκάθηραν οἱ Ἀθηναῖοι. — 13. Τὸν δεινὸν ὄντα κεχηνότες οἱ πολλοὶ ἀκούουσι, θαυμάζοντες καὶ εὐδαιμονίζοντες ἐπὶ τῇ δυνάμει τῶν λόγων. — 14. Ἀρταξέρξης ὁ τῆς Ἀσίας βασιλεύς, καταγωνισάμενος Κῦρον τὸν ἀδελφόν, ἀπεστάλκει Φαρνάβαζον καταστρεψόμενον πάσας τὰς ἐπὶ θαλάσσῃ πόλεις. — 15. Ξενοφῶν, ὅπως μὴ τὸ στράτευμα διασκεδασθῇ, προτείνει, ἄν τις μείνῃ ἢ ἀπολίπῃ πρὶν ἐν ἀσφαλεῖ εἶναι πᾶν τὸ στράτευμα, κρίνεσθαι αὐτὸν ὡς μὴ πειθόμενον [2])· καὶ λέγει· ὅστις ταὐτὰ νομίζει, ἀράτω τὴν χεῖρα. Ἀνέτειναν ἅπαντες. — 16. Ἐν Λάνῃ, πόλει μεγάλῃ καὶ εὐδαίμονι τῆς Καππαδοκίας, ἔμεινε Κῦρος ἡμέρας τρεῖς· ἐν ᾧ ἀπέκτεινεν ἄνδρα Πέρσην, Μεγαφέρνην, φοινικιστὴν βασίλειον, ὃς αὐτῷ ἐπεβούλευεν. — 17. Μετὰ τὸν Πατρόκλου θάνατον Ἀχιλλεὺς εἴξατο ἀποκτενεῖν, ὁντινα ἂν θεὸς εἰς χεῖρας αὐτοῦ ἐμβάλοι. — 18. Ἀθηναῖοι, εὐξάμενοι τῇ Ἀρτέμιδι, ὁπόσους ἂν κατακάνοιεν τῶν Περσῶν, τοσαύτας χιμαίρας καταθύσειν τῇ θεῷ, ἐπεὶ οὐκ εἶχον ἱκανάς, ἐψηφίσαντο κατ' ἐνιαυτὸν πεντακοσίας θύειν. — 19. Παιδάρητος ὁ Λακεδαιμονίων στρατηγός, λέγοντός τινος, ὅτι πολλοί εἰσιν οἱ πολέμιοι, ἔλεξεν, Οὐκοῦν ἡμεῖς εὐκλεέστεροι ἐσόμεθα, πλείους γὰρ ἀποκτενοῦμεν. — 20. Λισχιλίους ἱππέας ἀπέστειλε βασιλεύς, ἵνα καὶ χίλον καὶ εἴ τι ἄλλο χρήσιμον ἦν διαφθείρειαν καὶ περὶ τοῦ τῶν πολεμίων στρατεύματος αὐτῷ διαγγείλειαν. —

---

1) Soweit die Aussicht vom Tempel (des Apollo) aus reichte. — 2) als einen Ungehorsamen.

21. Οἱ ἐκ Μυκάλης ἀναχθέντες Ἕλληνες ἐπ' Ἑλλησπόντου ἐκομίσθησαν ἐς Ἄβυδον· Ἀθηναῖοι οὖν αὐτοῦ ὑπομείναντες χρόνον τινὰ καὶ ἐκ τῆς Ἀβύδου διαβαλόντες ἐς τὴν Χερσόνησον Σηστον πολιορκίᾳ συνέκλεισαν. — 22. Κατὰ τὸν πόλεμον ἀναγκαῖόν ἐστιν, ἡμεροσκόπους πρὸ τῆς πόλεως κατατάξαι ἐμπείρους ὄντας τοῦ πολέμου, ὅπως μὴ δι' ἄγνοιαν δοξάζων τι ὁ σκοπὸς σημήνῃ τι ἢ διαγγείλῃ εἰς τὴν πόλιν καὶ ματαίως διαταράξῃ τοὺς ἀνθρώπους. — 23. Ὁ εἰς τὴν Λακεδαίμονα τὴν ἐν Λεύκτροις μάχην ἀγγελῶν ἦκε, γυμνοπαιδιῶν τε οὐσῶν τῆς τελευταίας καὶ τοῦ ἀνδρικοῦ χοροῦ ἔνδον ὄντος· οἱ δὲ ἔφοροι τὸ πάθος ἀκούσαντες τὴν ἑορτὴν οὐκ ἔπαυσαν. — 24. Ξέρξης ἀγείρας τὴν ἀναρίθμητον στρατιὰν ἐστρατεύσατο ἐπὶ τὴν Ἑλλάδα· οἱ δὲ πλεῖστοι ἄλλοι ὑπετάξαντο αὐτῷ· ὑπὸ δὲ τῶν Ἑλλήνων κατεκόπη αὕτη ἡ ἀναρίθμητος στρατιὰ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· αὐτῶν δὲ τὴν ἀνδρείαν ἀπέφηναν τά τε τρόπαια καὶ ἡ ἐλευθερία τῶν Ἑλληνικῶν πόλεων. —

B. Medium.

1. Οἱ πολῖται τοὺς πολεμίους ἀμυνοῦνται. — 2. Μίλων ὁ ἐκ Κρότωνος ἀθλητής, ταῦρον ἀράμενος ἔφερε διὰ μέσου τοῦ σταδίου. — 3. Ὁ τὴν ψυχὴν κεκαθαρμένος μᾶλλόν ἐστι κοσμητὸς ἢ ὁ καλὰς ἐσθῆτας ἐνδυόμενος. — 4. Τῆς Χειρισόφου ἀρχῆς καταλυθείσης καὶ τῶν Ἑλλήνων τοῦ στρατεύματος σχισθέντος, οἱ Ἀρκάδες πορεύονται εἰς τὰς πρώτας κώμας. Συνεβάλοντο δὲ καὶ λόφον εἰς ὃν πάντες ἀλίζοιντο· καὶ ἐξαίφνης ἐπιστρατευσάμενοι ἐπὶ τοὺς Θρᾷκας, περιεβάλοντο πολλὴν καὶ παντοίαν λείαν. — 5. Οἱ Θρᾷκες φεύγουσιν, ὥςπερ δὴ τρόπος αὐτοῖς, ὄπισθεν περιβαλόμενοι τὰς πέλτας· καὶ αὐτῶν ὑπεραλλομένων τοὺς σταυροὺς

ἀπέκτεινάν τινας οἱ Ἕλληνες. — 6. Κῦρος ἐπιμεμψάμενος τὸν Ὀρόντην τῆς προδοσίας πρὸς τοὺς παρόντας Ἑλλήνων στρατηγοὺς λέγει· Ὑμῶν σὺ πρῶτος, ὦ Κλέαρχε, ἀπόφηναι γνώμην, ὅ τι πράξω περὶ Ὀρόντου τουτουί· ὁ δὲ Κλέαρχος ἀπεκρίνατο· Συμβουλεύω ἐγὼ τὸν ἄνδρα τοῦτον ἀφανίζεσθαι ὡς τάχιστα. — 7. Τὸν δ' ὑβρίζοντα ἡμᾶς παρασκευαζώμεθα σὺν τοῖς θεοῖς ἀμύνασθαι, τὸν συμπράττοντα ἡμῖν ἀμείψασθαι εὐεργεσίᾳ. — 8. Διὸς τὸ χαλκοῦν γένος ἀφανίσαντος, Δευκαλίων ὁ Προμηθέως, βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων, ἐτεκτήνατο λάρνακα καὶ τὰ ἐπιτήδεια εἰςεκομίσατο εἰς τὴν λάρνακα· τότε δὲ ἐν αὐτῇ σὺν Πύῤῥᾳ τῇ γυναικὶ διὰ τῆς θαλάσσης φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας ἴσας τῷ Παρνάσσῳ προςίσχει. — 9. Ἰνώ, ἡ τοῦ Ἀθάμαντος γυνή, ἔθρεψε Διόνυσον, Διὸς καὶ Σεμέλης παῖδα· διὰ τοῦτο μανεῖσα ὑπὸ τῆς Ἥρας τὸν ἑαυτῆς παῖδα Μελικέρτην ἐπισφάξασα ἤλατο σὺν αὐτῷ εἰς τὴν θάλασσαν. — 10. Κίμβροι πολλὰς καὶ μεγάλας Ῥωμαίων δυνάμεις κατακόψαντες καὶ μυριάσι τεσσαράκοντα τὴν ἐπὶ τὴν Ἰταλίαν στρατείαν στειλάμενοι, τῆς τοῦ Μαρίου ἀνδραγαθίᾳ καὶ ἐμπειρίᾳ ἄρδην κατεκόπησαν. — 11. Μήδεια τοῦ Ἰάσωνος ἔρωτα ἴσχει· δείσασα δέ, μὴ πρὸς τῶν χαλκοπόδων ταύρων διαφθαρῇ, κρύφα τοῦ πατρὸς συμπράξειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν ταύρων ἐπηγγείλατο καὶ τὸ χρυσόμαλλον δέρας ἐγχειριεῖν, ἐὰν ἐπαγγείληται αὐτὴν ἕξειν γυναῖκα καὶ εἰς Ἑλλάδα σύμπλουν ἄξεσθαι. — 12. Πυθαγόρας καί τινες τῶν παλαιῶν φυσικῶν ἀπεφήναντο, τὴν ἀνθρωπίνην ψυχὴν εἶναι ἀθάνατον. — 13. Ἀστυάγης μεταπεμψάμενος τὸν Ἅρπαγον ἤρετο, εἰ ἀποκτείνειε τὸν παῖδα, ὡς ἐνετείλατο. Ὁ δὲ ἀπεκρίνατο· Τουτονὶ*) τὸν βουκόλον ἐκέλευσα τὸν παῖδα

*) Hinzeigend auf den ebenfalls anwesenden Hirten.

ἀποκτεῖναι, ὡς σύ γε ἐπετείλω. — 14. Τριῶν θεῶν περὶ τοῦ κάλλους ἐρισασῶν καὶ Διὸς Πάριν τὸν Πριάμου παῖδα κρῖναι κελεύσαντος τὴν ἔριν, ἡ μὲν Ἥρα βασιλείαν βεβαίαν, ἡ δὲ Ἀθηνᾶ νίκην ἔμμονον ἐπαγγέλλεται, ἡ δὲ Ἀφροδίτη τὴν Ἑλένην προτείνει, καὶ δι' ἐκείνης γοητεύει τὸν ἄνθρωπον καὶ λαμβάνει τὸ μῆλον ἆθλον ὧν[1]) ἐπηγγείλατο. — 15. Σωκράτης τοῖς δικασταῖς ἀπεκρίνατο οὔτε μέγα οὔτε σμικρὸν αὐτοὺς ἀποκρυψάμενος, οὐδ' ὑποστειλάμενος. — 16. Κῦρος γράψας τοῖς φίλοις, αὐτῷ χαρίσασθαι[2]) χρήματα ὁπόσα ἂν ἕκαστος πορίσαι δυνατὸς εἴη, καὶ κατασημηνάμενος ἐπιστολὴν ἐκέλευσεν Ὑστάσπαν φέρειν τοῖς φίλοις, ὁ δὲ Ὑστάσπας μετὰ χρόνον τινὰ παρῆν πάμπολλα χρήματα ἔχων. Οὕτω Κῦρος τῷ Κροίσῳ ἐπέδειξεν, ὡς καὶ αὐτῷ εἰσι θησαυροί. — 17. Λερκυλλίδας ὁ Λακεδαιμόνιος μετὰ τὴν ἅλωσιν Γέργιθος, πολίσματος Αἰολικοῦ ἐν τῇ Φαρναβάζου σατραπείᾳ ὄντος, ἐκέλευσεν ἀποφαίνειν τὰ τοῦ Φαρναβάζου χρήματα· ταῦτα πάντα κατέκλεισε καὶ κατεσημήνατο καὶ ἐφυλάξατο, ἵνα μή τις τῶν φίλων ἐκείνου ἁρπάσειεν. — 18. Φίλιππος ὁ Μακεδὼν[3]) κατεστρατοπέδευσεν ἐπὶ τὸ Κυνόσαργες· μετὰ δὲ ταῦτα τὴν Ἀκαδημίαν ἐνέπρησε καὶ τοὺς τάφους κατέσκαψεν, ἔτι δὲ τὰ τεμένη τῶν θεῶν ἐλυμήνατο. — 19. Οἱ Λακεδαιμόνιοι, ἐπεὶ Λυκούργῳ τὴν πολιτείαν ἐπέτρεψαν, τοσοῦτον ὑπερεβάλοντο τοὺς ἄλλους, ὥστε μόνοι τῶν Ἑλλήνων καὶ γῆς καὶ θαλάττης ὑπῆρξαν. — 20. Κλέαρχος Λακεδαιμόνιος, φυγάς, φίλος ὢν Κύρου τοῦ δευτέρου συνέλεξεν στράτευμα ἀπὸ τῶν τοῦ Κύρου χρημάτων καὶ τοὺς Θρᾷκας, πολεμίους

---

1) τούτων ἅ. — 2) In γράψας liegt eine Aufforderung oder ein Befehl, nach solchen Verbis wird im Griech. der bloße Inf. gesetzt, der im Deutschen durch „sollen" gegeben werden muß. — 4) Philipp II. —

ὄντας ταῖς Ἑλλησποντικαῖς πόλεσιν, ἀνέστειλεν, ὥςτε ταύτας ἑκούσας αὐτῷ καὶ χρήματα συμβαλέσθαι εἰς τὴν τροφὴν τῶν στρατιωτῶν. —

C. Passivum.

1. Ὁ τῦφος τῶν Θηβαίων ἐπῆρται πρὸς τοὺς Ἀθηναίους. — 2. Οἱ τάπητες ὑπὸ τῶν δουλῶν πολυτεχνότατα ὑφασμένοι εἰσίν. — 3. Τὰ σκῆπτρα τῶν παλαιῶν βασιλέων χρυσοῖς ἥλοις πεπαρμένα ἦν. — 4. Κάδμος ἀποκτείνει δράκοντα, τῆς Ἄρειας κρήνης φύλακα, καὶ τοὺς ὀδόντας αὐτοῦ σπείρει· τούτων δὲ σπαρέντων, ἀνέτειλαν ἐκ γῆς ἄνδρες ἔνοπλοι· οἱ δὲ ἀνέκτειναν ἀλλήλους πλὴν πέντε, σὺν οἷς Θήβας τὴν πόλιν ἔκτισεν. — 5. Πτολεμαῖος, ὁ Μακεδονίας βασιλεύς, ὑπὸ Γαλατῶν ἐσφάγη, καὶ πᾶσα ἡ Μακεδονικὴ δύναμις κατεκόπη καὶ διεφθάρη. — 6. Ἀναξαγόρας ὁ φιλόσοφος, τῶν φυσικῶν ἐμπειρότατος ὤν, λέγεται ἀσεβείας*) κριθῆναι, διότι τὸν ἥλιον μύδρον ἔλεγε διάπυρον. — 7. Οἱ ἐν τῷ Κύρου στρατεύματι βάρβαροι εἶχον πάντες κράνη χαλκᾶ καὶ χιτῶνας φοινικοῦς καὶ κνημῖδας καὶ τὰς ἀσπίδας ἐκκεκαθαρμένας. — 8. Κάδμος ὁ τοῦ Ἀγήνορος ἐκ Φοινίκης πρὸς ζήτησιν Εὐρώπης τῆς ἀδελφῆς ὑπὸ τοῦ πατρὸς ἀποσταλεὶς Θήβας κτίσαι λέγεται. — 9. Ἰοβάτης ἐπέταξε Βελλεροφόντῃ τῷ Γλαύκου Χίμαιραν ἀποκτεῖναι, νομίζων αὐτὸν ὑπὸ τοῦ θηρίου διαφθαρήσεσθαι· ἦν γὰρ οὐ μόνον ἐνί, ἀλλὰ πολλοῖς οὐκ εὐάλωτον· εἶχε δὲ προτομὴν μὲν λέοντος, οὐρὰν δὲ δράκοντος, τρεῖς δὲ κεφαλάς, ὧν μέση αἰγὸς ἦν· καὶ τὴν χώραν διέφθειρε καὶ τὰ βοσκήματα ἐλυμαίνετο. — 10. Ἀναβιβάσας οὖν ἑαυτὸν ὁ Βελλεροφόντης ἐπὶ τὴν Πήγασον, ἀρθεὶς εἰς ὕψος, ἀπὸ τούτου κατετόξευσε τὴν

*) Gen. des Verbrechens.

Χίμαιραν. — 11. Αἰσχυνθείην ἄν, εἰ φανείην μᾶλλον φροντίζειν τῆς ἐμαυτοῦ δόξης ἢ τῆς κοινῆς σωτηρίας. — 12. Ἀροάκης ὁ Μῆδος καὶ ὁ ἵππος αὐτοῦ μιᾷ πληγῇ ἀμφότεροι διεπάρησαν ὑπὸ Θρᾳκός τινος πελταστοῦ ἐν τῇ ἐπὶ τῷ Ἀράξῃ συμπλοκῇ. — 13. Ἡ Ἀττικὴ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, ὅτι πρῶτον τὴν ἐλαίαν ἐν αὐτῇ ἐφύτευσεν. Ἁλιῤῥόθιος δέ, ὁ Ποσειδῶνος παῖς, ἐκκόψαι αὐτὰς ἤθελεν· ἀνατείνας δὲ τὸν πέλεκυν ἔπληξε καὶ ἀπέκτεινεν ἑαυτόν. — 14. Ζάλευκος ὁ νομοθέτης τάδε ἔγραψεν ἐν τοῖς νόμοις· Ὧδε ἡμῖν [1]) παρηγγέλθω πᾶσι τοῖς πολίταις καὶ πάσαις ταῖς πολίτισι, μνημονεύειν, ὅτι εἰσὶ θεοὶ καὶ δίκας ἐκπέμπουσι τοῖς ἀδίκοις καὶ ἔχειν πρὸ ὀμμάτων τὸν καιρὸν τοῦτον, ἐν ᾧ γίγνεται τὸ τέλος ἑκάστῳ τῆς ἀπαλλαγῆς τοῦ βίου. — 15. Λόγος ἐστί, Δῆλον τὴν νῆσον, πρὶν μὲν ἀνθρώποις φανῆναι τὸν Ἀπόλλωνα, τῷ πελάγει κρύπτεσθαι, φανέντος δὲ τοῦ θεοῦ, ἀναφέρεσθαι ἐκ τῶν βυθῶν. — 16. Ἡρακλέους παιδὸς ὄντος ὀκτομηναίου, δύο δράκοντας ὑπερμεγέθεις Ἥρα ἐπὶ τὴν εὐνὴν ἀπέστειλε, διαφθαρῆναι τὸ βρέφος θέλουσα· ὁ δὲ παῖς οὐ καταπλαγεὶς ἑκατέρᾳ τῶν χειρῶν τὸν αὐχένα σφίγξας ἀπέπνιξε τοὺς δράκοντας. — 17. Συγκρινομένων τῶν τριῶν ἠπείρων [2]) πρὸς ἀλλήλας, μεγίστη μὲν φανείη ἂν ἡ Ἀσία, εἶτα ἡ Λιβύη, τελευταία δὲ ἡ Εὐρώπη. — 18. Τῶν βαρβάρων ἐκ πολλῶν Θεσσαλίας λιμένων ἀναγομένων, οἱ μὲν περὶ τὸν Θεμιστοκλέα Ἕλληνες διεσπαρμένοις τοῖς Πέρσαις συμπλεκόμενοι πολλὰς μὲν ναῦς κατέδυσαν, οὐκ ὀλίγας δὲ φυγεῖν ἀναγκάσαντες μέχρι τῆς γῆς κατεδίωξαν. — 19. Τὴν Ἀθηνᾶν αἱ τέχναι πάρεδρον ἔχουσι· καὶ γὰρ αἱ τέχναι μικραί τινες εἶναι λέγονται φρονήσεις [3]), μᾶλλον δὲ ἀπόῤῥοιαι φρονήσεως καὶ προστρίμματα

---

1) Dat. der wirkenden Person beim Passiv. — 2) Gen. absol. aufzulösen durch „wenn man —. 3) Sachen des Verstandes.

ἐνδιεσπαρμένα ταῖς χρείαις περὶ τὸν βίον· ὥςπερ αἰνίττεται τὸ πῦρ [1]) ὑπὸ τοῦ Προμηθέως μερισθὲν ἄλλο ἄλλῃ διασπαρῆναι. — 20. Τῆς τῶν Γαλατῶν ὑπὸ τοῦ Καμίλλου ἐν Ἀρδέᾳ ἥττης διαγγελθείσης εἰς τὰς πόλεις, πολλοὶ τῶν ἐν ἡλικίᾳ, μάλιστα δὲ Ῥωμαίων ὅσοι διαφυγόντες ἐκ τῆς ἐπ' Ἀλίᾳ μάχης ἐν Βηΐοις ἦσαν, παρωξύνθησαν, τῇ πατρίδι ξυμπράττειν, καὶ μετεπέμψαντο τὸν Κάμιλλον ὡς [2]) αὐτῶν ἄρξοντα. — 21. Ἦν Κύρῳ τῷ πρώτῳ Περσῶν βασιλεῖ τὸ σημεῖον ἀετὸς χρυσοῦς ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος· καὶ ὕστερον δὲ τοῦτο τὸ σημεῖον τῷ Περσῶν βασιλεῖ διέμενεν. — 22. Σεύθης ἐσφαλμένος ὑπὸ τοῦ φίλου οὐκ ᾐσχύνθη· πρὸς γὰρ τοὺς φίλους οὐκ ἔστι φυλακή· ὑπὸ δὲ τοῦ πολεμίου ἐσφάλθαι αἴσχιστον αὐτῷ ἐφάνη· πρὸς γὰρ τοὺς πολεμίους φυλάξασθαι, ἀνδρὸς ἀγαθοῦ καὶ δεινοῦ εἶναι. — 23. Αἱ ἐν Μακεδονίᾳ πόλεις αἱ τῶν Ἀθηναίων ὑπήκοοι ἀκούσασαι τήν τε Ἀμφιπόλεως ἅλωσιν καὶ ἃ παρέχεται Βρασίδας, τήν τε ἐκείνου πραότητα, μάλιστα δὴ ἐπήρθησαν ἐς τὸ νεωτερίζειν, καὶ ἐπεκηρυκεύοντο πρὸς αὐτὸν κρύφα ἐπιπαρέρχεσθαί τε κελεύοντες καὶ βουλόμενοι [3]) αὐτοὶ ἕκαστοι ἐγκαταλιπεῖν τοὺς Ἀθηναίους. Καὶ γὰρ ἄδεια ἐφαίνετο αὐτοῖς, ἐψευσμένοις μὲν τῆς Ἀθηναίων δυνάμεως ἐπὶ τοσοῦτον ὅση [4]) ὕστερον διεφάνη· τὸ δὲ πλέον βουλήσει κρίνουσιν [5]) ἀσαφεῖ, ἢ προνοίᾳ ἀσφαλεῖ· οἱ γὰρ ἄνθρωποι ὡς ἐπὶ τὸ πολὺ [6]) νομίζουσιν ἢ ἐλπίζουσιν, ἃ ἂν βούλωνται. — 24. Κοινῇ ἐκβαλόντες τοὺς βαρβάρους ὕστε-

---

1) Unter dem Feuer sei also die menschliche Vernunft zu verstehen. — 2) Als einen, der sie anführen sollte, d. i. damit er sie anführte. — 3) Das Genus wechselt, weil der Schriftsteller, indem er vorher die Städte nennt, dabei besonders an die Einwohner denkt. — 4) Indem sie sich um so viel mehr über die Macht der Athener täuschten, je größer sie nachher erschien. — 5) Dat. Plur. von ἐφαίνετο abhängig. — 6) S. p. 51. Anm. 1. —

ρον οὐ πολλῷ διεκρίθησαν οἱ Ἕλληνες πρός τε Ἀθηναίους καὶ Λακεδαιμονίους· δυνάμει γὰρ οὗτοι μέγιστοι διεφάνησαν· ἴσχυον γὰρ οἱ μὲν κατὰ γῆν, οἱ δὲ ναυσί [1]). καὶ ὀλίγον μὲν χρόνον ξυνέμεινεν ἡ ὁμαιχμία, ἔπειτα δὲ διακριθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι ἐστρατεύσαντο μετὰ ξυμμάχων ἐπ' ἀλλήλους.

Erzählungen.

1. Entschlossenheit des Darius.

Ἡμερώτατον Δαρείου τόδε τὸ ἔργον ἀκούω τοῦ παιδὸς τοῦ Ὑστάσπου. Ἀρίβαζος ὁ Ὑρκανὸς ἐπεβούλευσεν αὐτῷ μετὰ καὶ ἄλλων ἀνδρῶν οὐκ ἀφανῶν τῶν ἐν Πέρσαις. Ἦν δὲ ἡ ἐπιβουλὴ ἐν κυνηγεσίῳ. Τούτου δὲ προαγγελθέντος, ὁ Δαρεῖος οὐκ ἔπτηξεν, ἀλλὰ προστάξας αὐτοῖς ἅπεσθαι τῶν ὅπλων καὶ τῶν ἵππων, παρήγγειλεν αὐτοῖς διατείνασθαι τὰ παλτά, καὶ ὁρμὴν βλέψας πρὸς αὐτοὺς ἐκέλευσε διαπεραίνειν τὸ παρεσκευασμένον [1]). Οἱ δὲ ἐκπλαγέντες ἄτρεπτον ἀνδρὸς βλέμμα, ἀνεστάλησαν τὴν ὁρμήν. Τὸ δὲ δέος αὐτοὺς κατεῖχεν οὕτως, ὥστε καὶ ἐκβαλεῖν τὰς αἰχμὰς καὶ ἀφαλέσθαι τῶν ἵππων καὶ προσπίπτειν ἱκέτας Δαρείῳ καὶ κελεύειν ὅτι καὶ βούλοιτο πράττειν. — Ὁ δὲ διέστειλεν ἄλλους ἄλλῃ, καὶ τοὺς μὲν ἐπὶ τὰ τῆς Ἰνδικῆς ὅρια ἀπέπεμψε, τοὺς δὲ ἐπὶ τὰ Σκυθικά. Καὶ ἐκεῖνοι ἔμειναν αὐτῷ πιστοί, δια μνήμης ἔχοντες τὴν εὐεργεσίαν. —

2. Der uneigennützige und furchtlose Epaminondas.

Τοῦ Περσῶν βασιλέως τρισμυρίους δαρεικοὺς ἀπο-

1) οἱ μέν, die Lacedämonier, οἱ δέ, die Athener. — 2) ihr Vorhaben.

στείλαντος τῷ Ἐπαμινώνδᾳ, οὗτος καθήψατο πικρῶς Διομέδοντος, εἰ τοσοῦτον πλοῦν ἤνυκε διαφθερῶν Ἐπαμινώνδαν· καὶ τῷ βασιλεῖ ἀγγεῖλαι ἐκέλευσεν, Ὅτι τὰ συμφέροντα Θηβαίοις πράττων, ἕξει προῖκα φίλον Ἐπαμινώνδαν· τὰ δὲ μὴ συμφέροντα, πολέμιον. — Ἀπαγγείλαντος δέ τινος, ὡς Ἀθηναῖοι στράτευμα καινοῖς παρεσκευασμένον ὅπλοις εἰς Πελοπόννησον ἀπεστάλκασιν, ἔλεξε, Τί οὖν Ἀντιγενίδας στένει καινοὺς Τέλληνος αὐλοὺς ἔχοντος· ἦν δὲ αὐλητὴς ὁ μὲν Τέλλης κάκιστος, ὁ δὲ Ἀντιγενίδας κάλλιστος. —

3. Adraſtus und Krösus.

Ἐφάνη ποτὲ Κροίσῳ, τῷ Λυδῶν βασιλεῖ, καθεύδοντι ὄνειρος, ὃς αὐτῷ τὴν ἀλήθειαν ἔφαινε τῶν μελλόντων γίγνεσθαι κακῶν κατὰ τὸν παῖδα. Ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες, ὧν ὁ μὲν ἕτερος διέφθαρτο· ἦν γὰρ δὴ κωφός· ὁ δὲ ἕτερος τῶν ἡλίκων μακρῷ τὰ πάντα [1]) πρῶτος· ὄνομα δὲ αὐτῷ ἦν Ἄτυς· τοῦτον οὖν τὸν Ἄτυν ἐσήμηνε τῷ Κροίσῳ ὁ ὄνειρος, ὡς διαφθαρήσεται αἰχμῇ σιδηρᾷ. Ὁ δ' ἐπεὶ ἐξεγέρθη, καταπλαγεὶς τῷ ὀνείρῳ, οὐδαμῇ ἔτι ἐπὶ τὸν πόλεμον τὸν παῖδα ἐξέπεμπεν· ἀκόντια δὲ καὶ δόρατα καὶ τὰ τοιαῦτα πάντα ἐκ τῶν ἀνδρώνων ἐξεκομίσατο. — Κατὰ τοῦτον τὸν χρόνον ἦκεν ἐς Σάρδεις ἀνήρ, συμφορᾷ ἐχόμενος, καὶ οὐ καθαρὸς ὢν χεῖρας [2]), Φρυξ μὲν γενεᾷ, γένους δὲ τοῦ βασιλείου. Τοῦτον οὖν κατὰ τοὺς νόμους τοὺς ἐπιχωρίους ἐκάθηρε Κροῖσος· καθήρας δὲ ἐπυνθάνετο, πόθεν τε καὶ τίς εἴη. Ὁ δ' ἀπεκρίνατο· Ὦ βασιλεῦ, Γορδίου μέν εἰμι παῖς, ὀνομάζομαι δ' Ἄδραστος· ἀποκτείνας δὲ ἀδελφὸν τὸν ἐμαυτοῦ ἄκων πεφευγὼς [3]) ὑπὸ τοῦ πατρὸς πάρ-

1) Bei weitem in allen Dingen. — 2) Accuſ. der Beziehung „an". — 3) In dem Worte φεύγω liegt der paſſive Begriff „werde vertrieben", daher ὑπό c. Gen.

ειμι. Κροῖσος δ' ἀπεκρίνατο τοῖσδε· Ἀνδρῶν φίλων ἔκγονος ὢν ἥκεις· μένε παρ' ἡμῖν· τὴν δὲ συμφορὰν ταύτην ὅτι κουφότατα φέρων κερδανεῖς πλεῖστον. — Ὁ μὲν οὖν τὴν δίαιταν εἶχεν ἐν [1]) Κροίσου. — Ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ ἐν τῷ Μυσίῳ [2]) Ὀλύμπῳ συὸς χρῆμα γίγνεται μέγα, ὃς τὰ τῶν Μυσῶν ἔργα διέφθειρεν. Οἱ δὲ Μυσοὶ ἀγγέλους παρὰ τὸν Κροῖσον ἀπέστειλαν, λέγοντες τάδε· „Ὦ βασιλεῦ, συὸς χρῆμα μέγιστον ἀνεφάνη ἡμῖν ἐν τῇ χώρᾳ, ὃς τὰ ἡμέτερα ἔργα τά μὲν ἤδη διέφθορε, τὰ δὲ διαφθερεῖ· ἡμεῖς δὲ μόνοι αὐτὸν ἀποκτεῖναι οὐ δυνατοί ἐσμεν, σύμπεμψον ἡμῖν τὸν παῖδα καὶ εὐζώνους νεανίας καὶ κύνας, ὡς αὐτὸν ἀποκτείνωμεν ἢ ἐκβάλωμεν ἐκ τῆς χώρας." Κροῖσος δὲ μνημονεύων τὰ τοῦ ὀνείρου τοὺς μὲν ἄλλους ἔλεγε πέμψειν, τὸν δὲ παῖδα οὐκ ἀποστελεῖν, μὴ διαφθαρῇ. Ὁ δὲ παῖς ἀκούσας τὰ γιγνόμενα μάλιστα ἱμέρθη τὴν ἀνδρείαν ἀποφῆναι. Ὁ δὲ πατὴρ αὐτῷ ἀποφηνάμενος γνώμην περὶ τοῦ ὀνείρου ἔλεγε· Διὰ τοῦτο φυλακὴν ἔχω σου, ὅτι μοι μόνος τυγχάνεις ὤν· τὸν γὰρ δὴ ἕτερον, διεφθαρμένον τὴν ἀκοήν, οὐκ εἶναι μοι λογίζομαι. — Ταῦτ' ἀκούσας ὁ Ἄτυς ἔλεγεν· Ὦ πάτερ, ποῖαι μέν εἰσι συὸς χεῖρες; ποία δὲ αἰχμὴ σιδηρᾶ, ἥ σοι φόβον ἐγείρει; οὐ γὰρ πρὸς ἄνδρας γίγνεται ἡμῖν ἡ μάχη. — Ταύτην τὴν γνώμην περὶ τοῦ ἐνυπνίου ἀποφήνας ἀνέπεισε τὸν πατέρα, αὐτὸν συμπέμψαι. Ὁ δὲ μετεπέμψατο τὸν Φρύγα, ὃν ἐκάθηρε, καὶ ἐνετείλατο αὐτῷ φυλακὴν ἔχειν τοῦ παιδός. — Ὡς δὲ ἥκοντες εἰς τὸν Ὄλυμπον συνεβάλοντο τῷ θηρίῳ καὶ εἰσηκόντιζον. Ἔνθα δὴ ὁ ξένος, ὁ καθαρθεὶς τὸν φόνον, ἀκοντίζων τὸν σῦν, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει τοῦ Ἄτυος καὶ ἀποκτείνει τῇ αἰχμῇ. — Εὐθὺς δέ τις ἀγγελῶν τὸν φόνον τῷ

1) Ergänze χώρᾳ, οἰκίᾳ, βασιλείοις oder Aehnliches. — 2) Im Gegensatz des thessalischen, den Griechen bekannteren Olympos.

Κροίσῳ ἀποστέλλεται· ἥκων δὲ εἰς τὰς Σάρδεις τήν τε μάχην καὶ τὸν τοῦ παιδὸς μόρον ἐσήμηνεν αὐτῷ. Ὁ δὲ Κροῖσος, τῷ θανάτῳ τοῦ παιδὸς συντεταραγμένος, μᾶλλόν τι ὠδύρετο, ὅτι αὐτὸν ἀπέκτεινεν, ὃν αὐτὸς φόνου ἐκάθηρεν. Ἔπειτα δὲ κατοικτείρει αὐτὸς τὸν ξένον, οὐκ ἐκεῖνον, ἀλλὰ τῶν θεῶν τινα τοῦ θανάτου αἴτιον νομίζων. —

XI. Verba contracta.

A. Activum.

a) Verba auf άω.

1. *Ὅρα τὸ μέλλον· ἔρα εἰρήνης· τὰ σπουδαῖα μελέτα· θεοὺς τίμα· τελεύτα ἄλυπος.* — 2. *Γελᾷ ὁ μῶρος κἂν τι μὴ γελοῖον ᾖ.* — 3. *Οἱ ἀγαθοὶ ἐρῶσι τῶν καλῶν.* — 4. *Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη.* — 5. *Πῶς ἂν τολμῴην τὸν φίλον βλάπτειν.* — 6. *Θαῤῥαλέως, ὦ στρατιῶται, ὁρμῶμεν ἐπὶ τοὺς πολεμίους.* — 7. *Ζήνων ὁ φιλόσοφος πρὸς τὸν ἐρωτῶντα, πῶς ἄν τις νέος ἐλάχιστα*[1]) *ἁμαρτάνοι, λέγει· εἰ πρὸ ὀφθαλμῶν ἔχει, οὓς μάλιστα τιμᾷ καὶ αἰσχύνεται.* — 8. *Νικίας ὁ Ἀθηναῖος οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐρωτᾶν τοὺς οἰκέτας, εἰ ἠρίστηκεν.* — 9. *Σαλμωνεύς, ὑβριστὴς ὤν, αὐτὸς εἶναι Ζεὺς ἔλεγε καὶ τῷ Διῒ ἀντιβροντᾶν ἐτόλμα.* — 10. *Λέγουσιν, ὅτι Ἀναξαγόραν τὸν Κλαζομένιον οὐδεὶς οὔτε γελῶντά ποτε οὔτε μειδιῶντα ἑώρακεν.* — 11. *Πᾶσαι αἱ ἐπὶ θαλάττης πόλεις τιμῶσι Ποσειδῶ, μάλιστα δὲ αἱ ἐν τῇ Πελοποννήσῳ, αἳ αὐτῷ ὡς Ἱππείῳ θύουσιν ἐπὶ Ἰσθμῷ.* — 12. *Πᾶς*

---

[1]) Am wenigſten; Superl. zu *ὀλίγον*.

νοῦν ἔχων τιμάτω καὶ σεβέσθω τὰς τῶν γονέων εὐχάς. — 13. Σωκράτης ἐκέλευε φυλάττεσθαι τῶν βρωμάτων, ὅσα μὴ πεινῶντες ἐσθίουσι, καὶ τῶν ποτῶν, ὅσα μὴ διψῶντες πίνουσιν. — 14. Οἱ Κόλχοι τοὺς νεκροὺς ἐν βύρσαις θάπτουσι καὶ ἐκ τῶν δένδρων ἐξαρτῶσιν. — 15. Τοιαύτη ἦν δύναμις τοῦ Περικλέους παρὰ τοῖς Ἕλλησιν, ὥστε ὁ κωμικὸς [1]) λέγει· Ἵστραπτεν; ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα. — 16. Ζεὺς ἐκ Θέμιδος, τῆς Οὐρανοῦ, γεννᾷ θυγατέρας Ὥρας, Εἰρήνην, Εὐνομίαν, Δίκην. — 17. Τάνταλος ἐν μέσῃ τῇ λίμνῃ ἀεὶ ἐδίψη, καὶ καρπῶν καλλίστων παρόντων ἀεὶ ἐπείνη. — 18. Οἱ Ἕλληνες ἐτίμων θεοὺς ἱεροῖς, ἀναθήμασι, θυσίαις πανηγύρεσι, προσόδοις. — 19. Ἰσοκράτης κελεύει τῶν γονέων [2]) τοὺς διδασκάλους προτιμᾶν· τοὺς μὲν γὰρ τοῦ ζῆν, τοὺς δὲ τοῦ εὖ ζῆν εἶναι αἰτίους [3]). — 20. Τὸν Πύλιον Νέστορα διὰ γνώμην καὶ γῆρας τῶν συμπάντων ἡρώων προὐτίμα Ἀγαμέμνων, ὁ τοῦ ὅλου στρατοῦ τῶν Ἀχαιῶν στρατηγός. — 21. Οὗτος ἄριστός ἐστι τρόπος τοῦ βίου, τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετὴν μελετῶντας καὶ ζῆν καὶ τελευτᾶν. — 22. Κῦρος ἦν φιλομαθής· πολλὰ μὲν αὐτὸς τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι [4]), ὅσα δὲ ἄλλοι αὐτὸν ἠρώτων, ταχὺ ἀπεκρίνετο. — 23. Τοὺς τοῖς ἄλλοις ἁμαρτάνουσιν ἐπιτιμῶντας ἑαυτοὺς παραδεῖγμα παρέχειν, ἀνάγκη· ὁ γὰρ τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτων οὐκ ἂν δικαίως ἐπιτιμῴη τοῖς ἄλλοις. Οἱ δὲ ὅλως φαύλως ζῶντες οὐδὲ τοῖς δούλοις παῤῥησίαν ἄγουσιν [5]) ἐπιτιμᾶν. — 24. Οἰνόμαος θυγατέρα μονογενῆ εἶχεν τὴν Ἱπποδάμειαν· μαντευσαμένῳ δὲ αὐτῷ περὶ

1) Aristophanes. — 2) Genit. abhängig von προτιμᾶν, mehr zu ehren, als —. 3) Accus. c. Inf., abhängig von einem aus κελεύει zu ergänzendem Verb. des Sagens. — 4) τυγχάνω mit dem Partic. zu übersetzen durch „gerade, zufällig". — 5) Sie behalten; τοῖς δούλοις hängt ab von ἐπιτιμᾶν.

τῆς τελευτῆς ἔχρησεν ὁ θεός, τότε τελευτήσειν αὐτόν, ὅταν τὴν θυγατέρα Ἱπποδάμειαν συνοικίσῃ· διὰ τοῦτο ἔκρινεν αὐτὴν διαφυλάττειν παρθένον· τοὺς δὲ αὐτὴν μνηστευομένους ἱππυδρομίᾳ ἐνίκα καὶ ἀπέκτεινε. Πέλοψ ὁ Ταντάλου κατανήσας εἰς Πῖσαν καὶ φθείρας τὸν ἡνίοχον τοῦ Οἰνομάου τὸν Μυρτίλον ἐνίκα τῷ ἅθλῳ. Ὁ δ' Οἰνόμαος τὸ λόγιον τετελέσθαι νομίζων καὶ διὰ τὴν λύπην ἀθυμήσας ἑαυτὸν ἀπέκτεινεν. —

b) Verba auf έω.

1. Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ. — 2. Φίλος φίλῳ συμπονῶν αὐτῷ πονεῖ. — 3. Οὐ μετανοεῖν, ἀλλὰ προνοεῖν δεῖ τὸν ἄνδρα[1]) τὸν σοφόν. — 4. Ἃ μὴ δεῖ ποιεῖν, ταῦτα μηδὲ ὑπονόει ποιεῖν. — 5. Ἀναξαγόρας συνηγορεῖ τὸν δυσφοροῦντα, ὅτι ἐπὶ ξένης τελευτᾷ, λέγων· Πανταχόθεν ὁμοία ἐστὶν ἡ εἰς Ἅιδου κατάβασις. — 6. Κυβερνήτου νοσοῦντος ὅλον συμπάσχει τὸ σκάφος. — 7. Μὴ κακοῖς ὁμίλει· θυμοῦ κράτει· ἔριν μίσει· ἀλήθειαν φίλει· μηδενὶ φθόνει. — 8. Ἡ συνήθεια κόρον γεννᾷ· οἰκοῦντες γῆν ζητοῦμεν θάλασσαν, καὶ πλέοντες πάλιν περισκοποῦμεν τὸν ἀγρόν. — 9. Ὀρφεὺς ᾖσκει τὴν κιθαρῳδίαν καὶ ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα. — 10. Αἱ Ὧραι καθάπερ τινὲς φύλακες βασιλέως αὐλῆς ἀφαιροῦσι τὸν τοῦ οὐρανοῦ μοχλὸν καὶ ἀπάγουσαι τὰ νέφη ἀνοίγουσι τὰς πύλας τοῦ οὐρανοῦ. — 11. Τούτων ἕνεκα καὶ γεωργοῦμεν καὶ πλέομεν καὶ πάντα ἁπλῶς[2]) κατὰ τὸν βίον πράττομεν, ἵνα ἔχωμεν χρήματα, ἐξ ὧν ἐξέσται ζῆν. — 12. Πλούτωνι καὶ Περσεφόνῃ ὑπηρέτουν, καὶ τὴν ἐν Ἅιδου ἀρχὴν συνδιέπρατιον ὄχλος πολύς, Ἐρινύες τε καὶ Ποι-

1) Der Accusat. des Subj. abhängig von δεῖ. — 2) kurz — überhaupt.

ναὶ καὶ Φόβος καὶ ὁ Ἑρμῆς. — 13. Τοῖς ζωγραφεῖν βουλομένοις οὐδὲν ὄφελος κατανοεῖν Ἀπελλοῦ καὶ Πρωτογένους καὶ Ἀντιφίλου ἔργα, ἐὰν μὴ καὶ αὐτοὶ γράφειν ἐπιχειρῶσιν. — 14. Σόλων ὁ Ἀθηναίων νομοθέτης ἐκέλευε, μήτε ἄρχειν τὸν σφύδρα νέον μήτε συμβουλεύειν, εἰ καὶ ἄριστα γνώμης [1]) δοκοίη ἔχειν. — 15. Εἴ τις τά τε τοῦ σώματος ἐθέλει διαπονεῖν καὶ τὴν τῶν μαθημάτων μελέτην ἐπιτελεῖν, δεῖ μνήμονα καὶ ἄῤῥατον καὶ πάντη φιλόπονον εἶναι. — 16. Τοιάνδε τινὰ τὴν γραφὴν οἱ κατήγοροι ἐπὶ τὸν Σωκράτην ἐγράψαντο· Σωκράτης ἀδικεῖ [2]) καὶ περιεργάζεται, ζητῶν τά τε ὑπὸ γῆς καὶ τὰ ἐπουράνια, καὶ τὸν ἥττω λόγον [3]) κρείττω ποιῶν, καὶ ἄλλους ταῦτα διδάσκων. — 17. Σάτραι διατελοῦσι [4]) τὸ μέχρι ἡμῶν [5]) ἀεὶ ὄντες ἐλεύθεροι μόνοι Θρᾳκῶν· οἰκοῦσί τε γὰρ ὄρη ὑψηλὰ καὶ χιόνι συνηρεφῆ, καί εἰσι τὰ πολέμια ἄκροι. — 18. Οἱ Ἀθηναῖοι ὑπὲρ τῆς μὲν δόξης οὐδένα κίνδυνον φεύγοντες, ἀλλὰ τὰς ἰδίας οὐσίας προσαναλίσκοντες διετέλουν· ὑπὲρ δὲ τῶν χρημάτων οὐδὲν ἐσπούδαζον. — 19. Οἱ Ἀθηναῖοι, τὴν τῶν συμμάχων ὁμόνοιαν κοινὴν ὠφέλειαν νομίζοντες, τοῖς αὐτοῖς νόμοις ἁπάσας τὰς πόλεις διῴκουν, συμμαχικῶς, ἀλλ' οὐ δεσποτικῶς βουλευόμενοι περὶ αὐτῶν· ὅλων μὲν τῶν πραγμάτων ἐπιστατοῦντες, ἰδίᾳ δ' ἑκάστους ἐλευθέρους ἐῶντες εἶναι· καὶ τῷ μὲν πλήθει βοηθοῦντες, ταῖς δὲ δυναστείαις πολεμοῦντες, δεινὸν νομίζοντες, κοινῆς τῆς πατρίδος οὔσης τοὺς μὲν τυραννεῖν, τοὺς δὲ μετοικεῖν. — 20. Ἦν ἴσως ὁ Κῦρος πολυλογώτερος, ἅμα μὲν

---

1) Die beſte Einſicht. — 2) c. Part. — thut Unrecht daran, daß er ꝛc. — 3) die ſchlechtere Sache als eine beſſere darſtellt. — 4) c. Part. iſt durch ein Adverb. zu überſetzen: „immer, fortwährend", das Part. iſt in das Hauptverbum zu verwandeln. — 5) So erzählt Herodot c. 440 vor Ch. Geb.

διὰ τὴν παιδείαν, ἔτι δὲ καὶ τὸ φιλομαθὴς εἶναι, ἀλλ' ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλ' ἁπλότης καὶ φιλοστοργία· ὥστ' ἐπεθύμει ἄν [1]) τις ἔτι πλείω ἀκούειν αὐτοῦ ἢ σιωπῶντι παρεῖναι. — 21. Ἐπὶ Ἄτυος βασιλέως σιτοδείας ἰσχυρᾶς πᾶσαν τὴν Λυδίαν κατεχούσης, παντοῖα παιγνιῶν εἴδη ἐπινοῆσαι λέγονται, καὶ ὧδε ποιῆσαι· τὴν μὲν ἑτέραν τῶν ἡμερῶν παίζειν πᾶσαν, ἵνα δὴ μὴ ζητοῖεν σιτία· τὴν δὲ ἑτέραν σιτοποιεῖν, πανομένους τῶν παιγνιῶν. — 22. Ἑρμῆν, Μαίας καὶ Διὸς υἱόν, δεῖ σαίρειν τὸ συμπόσιον, εἶτα εὐθετήσαντα ἕκαστα διαφέρειν τὰς ἀγγελίας τὰς παρὰ Διὸς ἄνω καὶ κάτω ἡμεροδρομοῦντα καί, πρὶν Γανυμήδην ἥκειν, καὶ τὸ νέκταρ ἐγχεῖν· νυκτὸς δὲ δεῖ αὐτὸν τῷ Πλούτωνι ψυχαγωγεῖν καὶ νεκροπομπὸν εἶναι. — 23. Πολλοὶ νέοι ἐπηκολούθουν τῷ Σωκράτει, οἱ τῶν πλουσιωτάτων, αὐτόματοι καὶ ἔχαιρον ἀκούοντες Σωκράτους ἐξετάζοντος τοὺς ἀνθρώπους, καὶ αὐτοὶ ἐπεχείρουν ἄλλους ἐξετάζειν. Οἱ δὲ ἐξεταζόμενοι ὠργίζοντο τῷ Σωκράτει καὶ ἔλεγον, ὡς οὗτός τίς ἐστι μιαρώτατος καὶ διαφθείρει τοὺς νέους. Ὅτε δέ τις αὐτοὺς ἐρωτῴη, ὅ τι ποιῶν καὶ ὅ τι διδάσκων ὁ Σωκράτης τοὺς νέους διαφθείρει, εἶχον μὲν ἂν οὐδὲν λέγειν, ἀλλ' ἠγνόουν. Ἵνα δὲ μὴ δοκοῖεν ἀπορεῖν, ἔλεγον, ὅτι θεοὺς μὴ νομίζοι καὶ τὸν ἥττω λόγον κρείττω ποιοίη. — 24. Κῦρος διετέλει φιλανθρωπίαν τῆς ψυχῆς ἐμφανίζων· ὥσπερ δ' οὐ ῥᾴδιόν ἐστι φιλεῖν τοὺς μισεῖν δοκοῦντας, οὐδ' εὐνοεῖν τοῖς κακόνοις, οὕτω καὶ μισεῖν ἐκείνους οὐ ῥᾴδιον, οἳ δῆλοί εἰσιν ἡμᾶς φιλοῦντες καὶ εὐνοοῦντες. Ἕως μὲν οὖν χρήμασιν ἀδυνατώτερος ἦν ὁ Κῦρος εὐεργετεῖν, τῷ [2]) τε προνοεῖν τῶν συνόντων καὶ τῷ προ-

---

1) Dies ἄν drückt hier die Wiederholung aus. — 2) Diese durch den Artikel zu Substantiven erhobenen Infinitive werden zusammengefaßt durch das nachfolgende τούτοις „durch (alles) dieses"

πονεῖν, καὶ τῷ συνηδόμενος μὲν ἐπὶ τοῖς ἀγαθοῖς φανερὸς εἶναι, συναχθόμενος δὲ ἐπὶ τοῖς κακοῖς, τούτοις ἐπεχείρει τὴν φιλίαν θηρεύειν. —

c) Verba auf όω.

1. *Πῶς μᾶλλον ἂν ἀσκοῖτε τήν ἀρετὴν, πῶς σπουδαιοτέρως ἂν ζηλοῖτε τὴν σοφίαν, ἢ τηροῦντες τὰς θεοῦ ἐντολάς;* — 2. *Μὴ ζηλοῦτε τὰ τῶν τυράννων· αὐτῶν γὰρ ὁ βίος φόβου καὶ κινδύνου πλήρης.* — 3. *Τὸ ἀληθὲς κάλλος, ὅπερ ἐκ θείας κοινωνίας ἔχει τὴν ἀπορρροήν, οὔτε πόνος ἢ λιμὸς ἢ ἀμέλειά τις, οὔτε ὁ πολὺς χρόνος ἀμαυροῖ.* — 4. *Χαλεπόν ἐστι, ταῖς τῶν ἀγαθῶν ἀρεταῖς τοὺς ἐπαίνους ἐξισοῦν.* — 5. *Μάτριος ὁ Ἀθηναῖος, ὃν ἐβίου χρόνον, οὐδὲν ἐσιτεῖτο ἢ μυρρίνης ὀλίγον, οἴνου δὲ καὶ τῶν ἄλλων πάντων ἀπείχετο, πλὴν ὕδατος.* — 6. *Τῷ Οὐρανῷ τεκνοῖ ἡ Γῆ τοὺς Τιτᾶνας προσαγορευθέντας Ὠκεανόν, Κοῖον, Ὑπερίονα, Κρῖον, Ἰαπετὸν καὶ νεώτατον ἁπάντων Κρόνον.* — 7. *Οἱ ἔφοροι, ἀρχὴ τῶν Σπαρτιατῶν μεγίστη, ἱκανοὶ ἦσαν ζημιοῦν, ὃν ἂν βούλωνται.* — 8. *Ξένοις ἐμβιοῦν οὐκ ἐξῆν ἐν Σπάρτῃ, οὔτε Σπαρτιάταις ξενιτεύειν.* — 9. *Λέγουσι, Μνημοσύνην τὰς τῶν ὀνομάτων θέσεις ἑκάστῳ τῶν ὄντων τάξαι, δι' ὧν καὶ δηλοῦμεν ἕκαστα καὶ πρὸς ἀλλήλους ὁμιλοῦμεν.* — 10. *Φίλου πιστοῦ ἐστι, τὰ τῶν φίλων ἁμαρτήματα οὐ ζημιοῦν, ἀλλ' ἐπανορθοῦν.* — 11. *Οἱ νόμοι οὐ μόνον τοὺς ἀδικοῦντας ζημιοῦσιν, ἀλλὰ καὶ ὠφελοῦσι τοὺς δικαίους.* — 12. *Κόνων τῆς τῶν Λακεδαιμονίων ὕβρεως τοὺς Ἕλληνας ἠλευθέρωσε καὶ τὰ τείχη τὰ τῆς πατρίδος ἀνώρθωσεν.* — 13. *Πυθαγόρας ὁ φιλόσοφος παρεκάλει, τὴν λιτότητα ζηλοῦν· τὴν γὰρ πολυτέλειαν ἅμα τάς τε οὐσίας τῶν ἀνθρώπων διαφθείρειν καὶ τὰ σώματα.* — 14.

Ὦ παῖδες Ἑλλήνων
ἐλευθεροῦτε παιρίδ', ἐλευθεροῦτε δὲ
παῖδας, γυναῖκας· θεῶν τε πατρῴων ἕδη,
θήκας τε προγόνων· νῦν δ' ὑπὲρ πάντων ἀγών [1])

15. *Τρεῖς εἰσι Μοῖραι, Θέμιδος καὶ Διὸς θυγατέρες· τούτων ἡ μὲν Κλωθὼ τὰ ἑνὶ ἑκάστῳ μέλλοντα κλώθει καὶ παρασκευάζει, ἡ δὲ Λάχεσις λαγχάνει καὶ πληροῖ καὶ ἐπικουρεῖ ταῦτα, ἡ δὲ Ἄτροπος ἄτρεπτα καὶ ἀμετακίνητα ποιεῖ.* — 16. *Φυλάσσου, μὴ ἡ σφοδρὰ ὄρεξις τυφλοῖ εἰς τἄλλα τὴν ψυχήν.* — 17. *Ὀδυσσεὺς τὸν Κύκλωπα μεθύσας ἐξετύφλωσε καὶ οὕτως ἑαυτόν τε καὶ τοὺς ἑταίρους ἀπὸ τῆς ὕβρεως αὐτοῦ ἠλευθέρωσεν.* — 18. *Ἐν ἴσῳ οἱ ἄνθρωποι δικαιοῦσιν αἰτιᾶσθαί τε, ὅστις τῆς ὑπαρχούσης δόξης μαλακίᾳ ἐλλείπει, καὶ μισεῖν, ὅστις τῆς μὴ προσηκούσης θρασύτητι ὀρέγεται.* — 19. *Δουλοῖ φρόνημα τὸ* [2]) *αἰφνίδιον καὶ ἀπροσδόκητον καὶ τὸ πλείστῳ παραλόγῳ ξυμβαῖνον· ὃ καὶ τοῖς Ἀθηναίοις κατὰ τὴν νόσον* [3]) *γίγνεται.* — 20. *Βρασίδας ἔν τε τοῖς ἄλλοις μέτριον ἑαυτὸν παρεῖχε τοῖς ἐν Μακεδονίᾳ Ἕλλησι, καὶ ἐν τοῖς λόγοις πανταχοῦ ἐδήλου ὡς ἐλευθερώσων* [4]) *τὴν Ἑλλάδα ἐκπεμφθείς.* — 21. *Ἡ Ἑλλὰς πρότερον τοῦτο τὸ ὄνομα, ὡς ἐμοὶ δοκεῖ, ξύμπασα οὐκ εἶχε· τεκμηριοῖ δὲ μάλιστα Ὅμηρος· πολλῷ γὰρ ὕστερον ἔτι καὶ τῶν Τρωϊκῶν οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν, οὐδ' ἄλλους ἢ τοὺς μετ' Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν, Δαναοὺς δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀργείους καὶ Ἀχαιοὺς ἀνακαλεῖ.* — 22. *Οἱ παλαιοὶ Ἕλληνες ἐλή-*

1) Aeschl. Pers. 402 — 504. — Worte des Boten, welcher — nach der Darstellung des Aeschylus — vom Xerxes gesandt, der Mutter desselben den Ausgang des Krieges meldet und in diesen Worten den Angstruf der Griechen schildert. — 2) Die durch den Art. zu Subst. erhobenen Adject. und Part. *αἰφνίδιον* ꝛc. sind das Subject zu *δουλοῖ* „schlägt nieder". — 3) Vergl. p. 74. Anm. 4) Nämlich von der Bedrückung der Athener.

στενον· δηλοῦσι δὲ τοῦτο οἱ παλαιοὶ τῶν ποιητῶν, παρ' οἷς οἱ ἄνθρωποι ἐρωτῶσι τοὺς καταπλέοντας, εἰ λῃσταί εἰσιν· οὔτε οὗτοι τὸ ἔργον τοῦτο ἀπαξιοῦσιν, οὔτε ἐκεῖνοι ὀνειδίζουσιν. — 23. Ἀννίβας τὴν διαμαρτίαν τοῦ τόπου [1]) νοήσας καὶ τὸν κίνδυνον ἀνεσταύρωσε μὲν τοὺς ὁδηγούς, τοὺς δὲ πολεμίους ἀπάτῃ ἐπεχείρησε δολοῦν, ὥστε μένειν οὐκ ἐτόλμων, ἀλλὰ πρὸς τὸ μεῖζον στρατόπεδον ἀνεχώρουν, ἀποχωρεῖν ἐῶντες τοὺς Καρχηδονίους, οὓς ἐκύκλωσαν. — 24. Πολλὰ καὶ καλὰ καὶ μεγάλα ἡ τῶν Ἀθηναίων πόλις διὰ Δημοσθένους κατώρθωσε· καὶ τούτων οὐκ ἀμνημονῶν ὁ δῆμος αὐτὸν στεφανοῖ. —

B. Medium.

a) Verba auf ἀω.

1. Κριτὴν ὄντα σε ὁμοίως ἀμφοῖν [2]) ἀκροᾶσθαι δεῖ. — 2. Πάντων ἐστὶν ἥδιστον καὶ λυσιτελέστατον, πιστοὺς ἅμα καὶ χρησίμους φίλους κτᾶσθαι ταῖς εὐεργεσίαις. — 3. Ποιοῦσιν οἱ κωμῳδοὶ τοιαῦτα ἐφ' οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι. — 4. Χαρμίδης ὁ τοῦ Γλαύκωνος τῷ μὲν Σωκράτει θαυμαστὸς ἐφάνη τό τε μέγεθος καὶ τὸ κάλλος· οἱ δὲ ἄλλοι πάντες ἤρων αὐτοῦ οὕτως, ὥστ' οὐδεὶς ἄλλοσ' ἔβλεπεν αὐτῶν, ἀλλὰ πάντες ὥσπερ ἄγαλμα ἐθεῶντο αὐτόν. — 5. Χαρμίδης ἐβαρύνετο ἐνιότε τὴν κεφαλήν· Σωκράτης δ' ἔλεγεν αὐτῷ, ὅτι τι κεφαλῆς φάρμακον ἔχοι· αὐτὸ μὲν εἶναι φύλλον τι, ἐπῳδὴν δέ τινα ἐπὶ τῷ φαρμάκῳ εἶναι ἣν [3]) εἰ οὖν τις ἐπάδοι ἅμα καὶ ἐχρῷτο αὐτῷ, παντάπασιν ὑγιᾶ ποιοῖ τὸ φάρμακον. — 6. Οἱ ἀγαθοὶ ἰατροί,

---

1) Als er durch bestochene Führer in einen Hinterhalt gelockt war. — 2) beide Parteien. — 3) In der Uebers. mit dem Demonstrat. aufzulösen.

ἐπειδάν τις αὐτοῖς προσέρχηται τοὺς ὀφθαλμοὺς ἀλγῶν, λέγουσί που, ὅτι οὐχ οἱόντε αὐτοὺς μόνους ἐπιχειρεῖν τοὺς ὀφθαλμοὺς ἰᾶσθαι, ἀλλ' ἀναγκαῖον εἴη ἅμα καὶ τὴν κεφαλὴν θεραπεύειν, εἰ μέλλοι καὶ τὰ τῶν ὀμμάτων εὖ ἕξειν· οὕτως οὐ δεῖ μίαν μόνην ἀρετήν, ἀλλ' ἅμα πάσας τὰς ἀρετὰς μελετᾶν. — 7. Μακάριος, ὃς οὐσίαν καὶ νοῦν ἔχει· χρῆται γὰρ τῇ οὐσίᾳ εἰς ἃ [1]) χρῆσθαι δεῖ καλῶς. — 8. Οἱ Ἀθηναῖοι Σόλωνι νομοθέτῃ ἐχρῶντο [2]) πρὸς τὴν πολιτείαν, καὶ ἠξίουν κατὰ τὰ προστάγματα αὐτοῦ βιοῦν. — 9. Πάλαι μὲν καὶ ἄνθρωποι συνεισιτιῶντο καὶ συνέπινον τοῖς θεοῖς ἐν τῷ οὐρανῷ, οἷον Ἰξίων καὶ Τάνταλος· ἐπεὶ δὲ ἦσαν οὗτοι ὑβρισταί, τὸ ἀπὸ τούτου [3]) ἄβατος ἦν τῷ θνητῷ γένει καὶ ἀπόῤῥητος ὁ οὐρανός. — 10. Φίλιππος [4]) ὁ τῶν Μακεδόνων βασιλεὺς καὶ Ἀντίοχος ὁ τῶν Σύρων τὰς αὐτῶν δυνάμεις ἀνυποστάτους εἶναι νομίσαντες μιᾷ παρατάξει συνηναγκάσθησαν ἑτέροις ποιεῖν τὸ προσταττόμενον· διὸ καὶ περὶ τῆς περὶ αὐτοὺς ἀτυχίας τὰς ἰδίας ἁμαρτίας ᾐτιῶντο. — 11. Μειδίας ἀσεβεῖς καὶ δεινοὺς λόγους ἐτόλμα περὶ Δημοσθένους λέγειν, ὡς ἐκεῖνος εἴη πεφονευκὼς Νικόδημόν τινα· ὡς δ' οὐδὲν ἤνυε τούτοις, χρήματα ἐπηγγείλατο πορισεῖν τοῖς τοῦ τετελευτηκότος οἰκείοις, εἰ τοῦ πράγματος αἰτιῷντο τὸν Δημοσθένη. — 12. Οὕτω πειρῶ ζῆν, ὡς καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος· φίλους δὲ μὴ ταχὺ κτῶ, οὓς δ' ἂν κτήσῃ, μὴ ταχὺ ἀποδοκίμαζε. — 13. Ἀλέξανδρος, ὅτε ἐνίκησε Δαρεῖον, καὶ τὴν Περσῶν ἀρχὴν κατεκτήσατο, μέγα ἐφ' ἑαυτῷ φρονῶν, ἐπέστειλε τοῖς Ἕλλησι, Θεὸν αὐτὸν ψηφίσασθαι. — 14. Πάντα

---

1) εἰς ταῦτα εἰς ἅ. — 2) χρῆσθαι mit doppeltem Dat. „Jem. haben als etwas". — 3) seitdem, von der Zeit an. — 4) Philipp II. und Antiochus der Gr., Zeitgenossen des Hannibal und durch diesen zum Kriege gegen die Römer bewogen.

ἐκ τῆς ψυχῆς ὁρμᾶται καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ τῷ σώματι καὶ παντὶ τῷ ἀνθρώπῳ καὶ ἐκεῖθεν ἐπιῤῥεῖ, ὥςπερ ἐκ τῆς κεφαλῆς τὰ ὄμματα· δεῖ οὖν ἐκείνην καὶ πρώτην καὶ μάλιστα θεραπεύειν. — 15. Ὅταν αἱ μέλισσαι σκιρτῶσιν ἢ πλανῶνται, οἱ σμηνουργοὶ κροτοῦσι κρότον τινὰ ἐμμελῆ, οὗ ἀκούουσαι αἱ μέλισσαι ὑποστρέφουσιν. — 16. Εἰ πᾶσι φαινοίμεθα τοὺς μὲν κακῶς ποιοῦνιας νικᾶν πειρώμενοι κακῶς ποιοῦντες, τοὺς δ' εὐεργετοῦντας ἀγαθοῖς ὑπερβαλλόμενοι, εἰκός, ἐκ τῶν τοιούτων φίλους μὲν ἡμῖν πολλοὺς βούλεσθαι γίγνεσθαι, ἐχθρὸν δὲ μηδένα ἐπιθυμεῖν εἶναι. — 17. Ὁ τῶν Περσῶν βασιλεὺς πᾶν μὲν τὸ ἐν ἀνθρώποις χρυσίον, πᾶν δὲ τὸ ἀργύριον, πάντα δὲ τὰ πολυτελέστατα ἐπειρᾶτο πρὸς ἑαυτὸν ἀθροίζειν. — 18. Δεῖ καὶ τὸν τὰ μικρὰ πειρώμενον ἀεὶ ἀπὸ θεῶν ὁρμᾶσθαι. — 19. Τῶν Ἀθηναίων ἔνιοι εἴων τοὺς δούλους τρυφᾶν καὶ μεγαλοπρεπῶς διαιτᾶσθαι, καὶ τοῦτο γνώμῃ φανεῖεν ἂν ποιοῦντες· ἐχρῶντο γὰρ αὐτοῖς καὶ ἑρέταις καὶ στρατιώταις. — 20. Ὁρῶν Τολμίδην τὸν Τολμαίου, διὰ τὰς πρότερον εὐτυχίας καὶ διὰ τὸ τιμᾶσθαι διαφερόντως ἐκ τῶν πολεμικῶν[1]) σὺν οὐδενὶ καιρῷ παρασκευαζόμενον εἰς Βοιωτίαν ἐμβαλεῖν, ὁ Περικλῆς καιέχειν ἐπειρᾶτο· ὅμως δὲ στρατεύσας ἐκεῖνος ὀλίγαις ὕστερον ἡμέραις περὶ Κορώνειαν ἡττήθη. — 21. Τὸν Αἴλιον Γάλλον ἔπεμψεν ὁ Σεβαστὸς Καῖσαρ διαπερασόμενον τῶν ἐθνῶν τῆς Ἀραβίας καὶ τῶν Αἰθιοπικῶν ὀρῶν. — 22. Ἐπεὶ ἡ Ἀττικὴ πρὸς ὕδωρ οὔτε ποταμοῖς ἐστιν ἀεννάοις, οὔτε λίμναις τισίν, οὔτ' ἀφθόνοις πηγαῖς διαρκής, οἱ πλεῖστοι φρέασι ποιητοῖς ἐχρῶντο. — 23. Κύρις νῦν μὲν κώμιόν ἐστιν· ἦν δὲ πόλις ἐπίσημος, ἐξ ἧς ὥρμηντο οἱ τῆς Ῥώμης βασιλεύσαντες, Τίτος Τάτιος[2]) καὶ Νουμᾶς Πομπίλιος· ἐντεῦθεν δὲ καὶ Κυρί-

1) Wegen seiner Kriegsthaten. — 2) Zur Zeit des Romulus.

τας ὀνομάζουσιν οἱ δημηγοροῦντες τοὺς Ῥωμαίους. — 24. Θησεὺς συνοικίσας τε τοὺς τὴν Ἀττικὴν κατοικοῦντας εἰς ἓν ἄστυ ἕνα δῆμον ἀποφῆναι καὶ τῇ Ἀττικῇ τὴν Μεγαρικὴν προσκτήσασθαι λέγεται. —

b) Verba auf έω.

1. Πυθαγόρας λέγει, ὅτι δεῖ βίον αἱρεῖσθαι τὸν ἄριστον· ἡδὺν γὰρ αὐτὸν ἡ συνήθεια ποιήσει. — 2. Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. — 3. Νιγρῖνος ὁ φιλόσοφος διεγέλα τῶν Ῥωμαίων τοὺς θαυμασίαν σπουδὴν περὶ τὰ δεῖπνα ποιουμένους. — 4. Τῇ μὲν γυναικὶ κάλλιον, ἔνδον τε μένειν καὶ τῶν τοῦ οἴκου ἐπιμελεῖσθαι, ἢ θυραυλεῖν· τῷ δ' ἀνδρὶ αἴσχιον, ἔνδον μένειν ἢ τῶν ἔξω ἐπιμελεῖσθαι. — 5. Ἡ δίαιτα τοῖς ἀνθρώποις οὐχ, ὥςπερ τοῖς κτήνεσιν, ἔστιν ἐν ὑπαίθρῳ, ἀλλὰ στεγνῶν δεῖται δηλονότι· στεγνῶν γὰρ δεῖται καὶ ἡ τῶν νεογνῶν τέκνων παιδοτροφία, στεγνῶν δὲ καὶ αἱ ἐκ τοῦ καρποῦ σιτοποιΐαι δέονται· ὡσαύτως δὲ καὶ ἡ τῆς ἐσθῆτος ἐκ τῶν ἐρίων ἐργασία. — 6. Τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ἐὰν ἑκόντες αὐτῷ ἕπωνται καὶ τὰ δεινὰ διαπονεῖσθαι ἐθέλωσιν· ὡς τῷ Κύρῳ οἱ φίλοι ζῶντί τε συνεμάχοντο, καὶ τελευτῶντι πάντες περὶ τὸν νεκρὸν μαχόμενοι συνετελεύτησαν. — 7. Λυκοῦργος ἐννοήσας, ὅτι ἀπὸ τῶν σίτων οἱ μὲν διαπονούμενοι εὔχροοί τε καὶ εὔσαρκοι καὶ εὔρωστοί εἰσιν, οἱ δ' ἄπονοι πεφυσημένοί τε καὶ αἰσχροὶ καὶ ἀσθενεῖς ἀναφαίνονται, οὐδὲ τούτου ἠμέλησεν· ἀλλ' ἐννοῶν, ὅτι καὶ ὅταν αὐτός τις τῇ ἑαυτοῦ γνώμῃ φιλοπονῇ, ἀρκοῦν τὸ σῶμα ἔχων ἀναφαίνεται, ἐπέταξε τὸν ἀεὶ πρεσβύτατον ἐν τῷ γυμνασίῳ ἑκάστῳ ἐπιμελεῖσθαι, ὡς μήποτε ἐλάττους τῶν συσσίτων γίγνεσθαι. — 8. Παρὰ Ἀντιόχῳ τῷ Με-

γάλῳ προσαγορευθέντι ἐν τῷ δείπνῳ πρὸς ὅπλα ὠρχοῦντο οὐ μόνον οἱ βασιλέως φίλοι, ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεύς. — 9. Τὸν ἰσχυρὸν δεῖ πρᾷον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον ἢ φοβῶνται. — 10. Ἐρωτῶντός τινος, διὰ τί ἐν τοῖς πολέμοις Σπαρτιᾶται θαρσαλέως κινδυνεύουσιν, Ἀλεξανδρίδας ὁ Λέοντος ἀπεκρίνατο, Ὅτι αἰδεῖσθαι περὶ βίου μελετῶμεν, οὐχ ὥσπερ οἱ ἄλλοι, φοβεῖσθαι. — 11. Δικαίως ἂν λέγοιεν οἱ Ἀθηναῖοι· Πλείστας μὲν θυσίας καὶ καλλίστας τῶν Ἑλλήνων ἄγομεν, ἀναθήμασί τε κεκοσμήκαμεν τὰ ἱερὰ αὐτῶν, ὡς οὐδένες ἄλλοι, πομπάς τε πολυτελεστάτας καὶ σεμνοτάτας ἐδωρούμεθα τοῖς θεοῖς ἀν' ἕκαστον ἔτος, καὶ ἐτελοῦμεν χρήματα ὅσα οὐδ' οἱ ἄλλοι ξύμπαντες Ἕλληνες. — 12. Δαρεῖος ὁ δεύτερος Δυκομήδη τὸν Κροτωνιάτην, ἰατρὸν δεινότατον, δωρεῖται πεδῶν χρυσῶν δύο ζεύγεσιν, ὅτι Ἑλληνικοῖς ἰάμασι χρώμενος, ὕπνου τε λαγχάνειν ἐποίει καὶ ἐν ὀλίγῳ χρόνῳ ὑγιᾶ αὐτὸν ἀπέδειξε. Τῶν δὲ τοῦ βασιλέως γυναικῶν ἑκάστη φιάλῃ χρυσῇ ἐδωρεῖτο. — 13. Μετὰ τὰς σπονδάς, ἃς οἱ Βοιωτοί τε καὶ οἱ Ἀρκάδες ἐποιήσαντο, οἱ Ἀρκάδες ἐν Τεγέᾳ καταμένοντες ἐδειπνοποιοῦντό τε καὶ εὐθυμοῦντο καὶ παιᾶνας ἐποιοῦντο. — 14. Ἐπεὶ Τισσαφέρνης καὶ οἱ σὺν αὐτῷ καίειν ἐπεχείρησαν τὰς κώμας, τῶν Ἑλλήνων τινὲς μάλα ἠθύμησαν, ἐννοούμενοι, μὴ τὰ ἐπιτήδεια, εἰ ἐκεῖνοι καίοιεν, οὐκ ἔχοιεν ὁπόθεν λαμβάνοιεν. — 15. Ἡρακλῆς τῷ Νεοπτολέμῳ καὶ τῷ Φιλοκτήτῃ, εἰς Ἴλιον στρατευσαμένοις, παρῄνεσε·

τοῦτο δ' ἐννοεῖσθ', ὅταν
πορθῆτε γαῖαν [1]), εὐσεβεῖν τὰ πρὸς θεούς·
ὡς τἄλλ' ἅπαντα δεύτερ' ἡγεῖται πατὴρ
Ζεύς· οὐ γὰρ ηὐσέβεια [2]) συνθνήσκει βροτοῖς. —

16. Κύρῳ ἥδιον ἐδόκει δωρεῖσθαι χρήματα ἄλλοις ἢ

1) Dichterische Form für γῆν. — 2) Krasis für ἡ εὐσέβεια. —

λαμβάνειν παρ' ἄλλων· καὶ πρὸς Κυαξάρην, τοῦτ' οὐχ ὁμολογοῦντα ἔλεγεν· Εἴ σοι ταῦτα δοκῶ ἀγνωμόνως ἐνθυμεῖσθαι, μὴ ἐν ἐμοὶ ταῦτα, ἀλλ' ἐν σοὶ τρέψας πάντα, καταθέασαι, οἷά σοι φαίνεται. — 17. Ὁ Ἀσσύριος εἰς τὴν τοῦ Γαδάτου χώραν ἐνέβαλε, δηλονότι, ἵνα αὐτὸν τιμωροῖτο, ὅτι ἐδόκει μέγα βεβλάφθαι ὑπ' αὐτοῦ. — 18. Ἐπιμελείσθων τοῦ σιωπῇ πορεύεσθαι, οἵ τε ἄρχοντες καὶ πάντες οἱ σωφρονοῦντες· διὰ γὰρ τῶν ὤτων ἐν τῇ νυκτὶ ἀνάγκη μᾶλλον ἢ διὰ τῶν ὀφθαλμῶν ἕκαστα καὶ αἰσθάνεσθαι καὶ πράττεσθαι. — 19. Λυκοῦργον, τὸν τοῖς Σπαρτιάταις νομοθετοῦντα, θαυμάζω τε καὶ εἰς τὰ ἔσχατα [1]) μάλα σοφὸν ἡγοῦμαι· αὐτοῦ γὰρ τοῖς νόμοις πειθόμενοι εὐδαιμόνουν οἱ Σπαρτιᾶται καὶ εὐδοκιμοῦντο παρ' ἄλλοις ἀνθρώποις. — 20. Λυκοῦργος ἡγεῖτο, ὑγιεινοτέραν εἶναι τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφήν, ἢ τὴν διαπλατύνουσαν τῷ σίτῳ. Ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπραγμόνως μὲν αὐτοῖς οὐ συνεχώρησε λαμβάνειν ὧν ἂν δέωνται, κλέπτειν δ' ἔστιν ἃ [2]) τῷ λιμῷ ἐπικουροῦντας. — 21. Περικλῆς ὁ Ἀθηναῖος τοὺς ἐπετείους καρποὺς ἅπαντας ἀθρόους ἐπίπρασκεν, εἶτα τῶν ἀναγκαίων ἕκαστον ἐξ ἀγορᾶς ὠνούμενος διῴκει τὸν βίον καὶ τὰ περὶ τὴν δίαιταν. — 22. Ὅτε Περικλῆς τοὺς Εὐβοεῖς ἀπειθοῦντας κατεπολέμει, εὐθὺς ἀπηγγέλλοντο Μεγαρεῖς ἐκπεπολεμωμένοι καὶ στρατιὰ πολεμίων ἐπὶ τοῖς ὅροις τῆς Ἀττικῆς οὖσα, Πλειστώνακτος ἡγουμένου, βασιλέως Λακεδαιμονίων. Πάλιν οὖν ὁ Περικλῆς κατὰ τάχος ἐκ τῆς Εὐβοίας ἀνεκομίζετο πρὸς τὸν ἐν τῇ Ἀττικῇ πόλεμον· καὶ συνάψαι μὲν εἰς χεῖρας οὐκ ἐθάρσησε πολλοῖς καὶ ἀγαθοῖς ὁπλίταις προκαλουμένοις· ὁρῶν δὲ τὸν Πλειστώνακτα νέον ὄντα κομιδῇ,

---

1) Bis aufs äußerste d. h. außerordentlich. — 2) Manches.

χρώμενον δὲ μάλιστα Κλεανδρίδῃ τῶν συμβούλων, ἐπειρᾶτο τούτου κρύφα· καὶ ταχὺ διαφθείρας χρήμασιν αὐτὸν ἔπεισεν ἐκ τῆς Ἀττικῆς ἀπάγειν τοὺς Πελοποννησίους. Μετὰ δὲ τοῦτο τὴν Εὔβοιαν κατεστρέψατο. — 23. Ἀρχίδαμος ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, τῶν ξυμμάχων ἀξιούντων ὁρίσαι τοὺς φόρους αὐτοῖς, ἀπεκρίνατο, Ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται. — 24. Ἀγησίλαος πρός τινα παρακαλούμενον τοῦ μιμουμένου τὴν τῆς ἀηδόνος φωνὴν ἀκοῦσαι ἔλεξεν, Ἤκουσα πολλάκις αὐτῆς. —

c) Verba auf όω.

1. Οἱ τοῖς ἀγαθοῖς ἐναντιούμενοι ἄξιοί εἰσιν ζημιοῦσθαι. — 2. Τῶν πραγμάτων δι' ἀναρχίας φερομένων εἰς μείζονας ταραχὰς ἀπεδείχθη Δικτάτωρ ὁ Καμιλλος ὑπὸ τῆς βουλῆς ἄκοντι τῷ δήμῳ*) τὸ τέταρτον, οὐδ' αὐτὸς ὢν πρόθυμος, οὐδὲ βουλόμενος ἐναντιοῦσθαι πρὸς ἀνθρώπους, μεθ' ὧν πολλὰ καὶ μεγάλα ἐν στρατηγίαις διαπεπραγμένος ἦν. — 3. Οἱ Τουσκλάνοι ποτὲ ἀπειθεῖν τοῖς Ῥωμαίοις ἐπεχείρουν· τοῦ δὲ Καμίλλου ἤδη ἐπ' αὐτοὺς βαδίζοντος τὴν ἁμαρτίαν ἐπανορθούμενοι πανούργως ἐωρῶντο, οἱ μὲν ὡς ἐν εἰρήνῃ γεωργοῦντες καὶ νέμοντες, οἱ δὲ περὶ τὰς τέχνας διαπονούμενοι, πάντες ὡς οὐδὲν κακὸν προσδοκῶντες οὐδ' ἠδικηκότες. — 4. Ἐν πολλαῖς τῶν πόλεων οἱ νόμοι οὐκ ἐναντιοῦνται ταῖς πρὸς τοὺς παῖδας ἐπιθυμίαις· αἱ δὲ πόλεις οὐ μόνον νόμων ἀγαθῶν δέονται, ἀλλὰ καὶ τῶν τοὺς νόμους ὀρθούντων. — 5. Οἱ Ἴωνες στάσιν ἐποιοῦντο ὡς ἀποσείοντες τὴν τῶν Περσῶν βασιλείαν· καὶ ὁμονοοῦντες ἀλλήλοις καὶ τῶν Ἀθηναίων βοηθούντων κατωρθοῦντο τὴν αὐτονομίαν· οὐ πολλῷ δὲ ὕστερον διχοστατοῦντας ἀλλήλοις καὶ ἀθυ-

*) wider Willen des Volkes.

μοῦντας Λαρεῖος ὁ Πέρσης αὐτοὺς ἐχειροῦτο. — 6. Πόλις, ἄδικος οὖσα, καὶ ἄλλας πόλεις ἐπιχειρεῖ δουλοῦσθαι καὶ ἤδη καταδεδούλωται· οὐκ ἄρα τῆς δικαιοσύνης καὶ δυνατωτέρα καὶ ἰσχυροτέρα δοκοίη ἂν ἡμῖν ἡ ἀδικία; — 7. Διαφορώτατα τοὺς Ἀθηναίους ἐφιλοιμοῦντο αἱ Ἀμαζόνες διὰ τὸ τὸν Θησέα καταδεδουλῶσθαι τὴν ἡγεμόνα τῶν Ἀμαζόνων Ἱππολύτην. — 8. Ἀλέξανδρος προσιππεύσας πρὸ τῆς τάξεως ξὺν ὀλίγοις τῶν ἑταίρων ἀπαντᾷ τῷ Πώρῳ· τό τε μέγεθος ἐθαύμαζεν ὑπὲρ πέντε πήχεις μάλιστα ξυμβαῖνον καὶ τὸ κάλλος τοῦ Πώρου, καὶ ὅτι οὐ δεδουλωμένος τὴν γνώμην ἐφαίνετο, ἀλλ' ὥσπερ ἀνὴρ ἀγαθὸς ἀνδρὶ ἀγαθῷ προσέρχοιτο ὑπὲρ βασιλείας τῆς αὑτοῦ πρὸς βασιλέα ἄλλον καλῶς ἠγωνισμένος. — 9. Ζεὺς καὶ οἱ ἀδελφοὶ κρατήσαντες τῶν Τιτάνων διακληροῦνται περὶ τῆς ἀρχῆς καὶ λαγχάνει Ζεὺς μὲν τῆς ἐν οὐρανῷ δυνασιείας, Ποσειδῶν δὲ τῆς ἐν θαλάσσῃ, Πλούτων δὲ τῆς ἐν ᾅδῃ. — 10. Περικλῆς ὡς ἐπὶ τὸ πολὺ βουλόμενον ἦγε καὶ πείθων καὶ διδάσκων τὸν δῆμον, ἦν δ' ὅτε[1]) καὶ μάλα δυσχεραίνοντα κατατείνων καὶ προσβιβάζων ἐχειροῦτο τῷ συμφέροντι, μιμούμενος ἀτεχνῶς ἰατρόν, ὃς ποικίλῳ νοσήματι καὶ μακρῷ κατὰ καιρὸν μὲν ἡδονὰς ἀβλαβεῖς, κατὰ καιρὸν δὲ δηγμοὺς καὶ φάρμακα προσφέρει σωτήρια. — 11. Δελφικοῦ θεοῦ χρησμῳδοῦντος Ἀθηναίοις, ὡς εἷς ἐσιν ἀνὴρ ἐν τῇ πόλει ταῖς πάντων ἐναντιούμενος γνώμαις, καὶ τῶν Ἀθηναίων ζητεῖν κελευόντων, ὅστις ἐστί, καὶ βοώντων, Φωκίων αὐτὸς ἔφασκεν οὗτος εἶναι· αὐτὸς πάντων γνώμαις ἐναντιοῦσθαι· μόνῳ γαρ ἑαυτῷ μηδὲν ἀρέσκειν ὧν[2]) οἱ πολλοὶ πράττουσι καὶ λέγουσι. — 12. Νύσα τῆς Ἰνδίας κτίσμα εἶναι Διονύσου λέγουσι· Διόνυσον δὲ κτίσαι τὴν Νύσαν, ἐπεὶ ἐκ Θηβῶν ἢ ἐκ Τμώλου τοῦ Λυδίου ὁρμηθεὶς ἐπ'

1) bisweilen. — 2) i. e. τούτων, ἃ —.

Ἰνδοὺς ἦκε στρατιὰν ἄγων πολλά τε ἄλλα ἔθνη καὶ τοὺς Ἰνδοὺς ἐχειρώσατο. — 13. Οἱ Μακεδόνες τὸν Νυσαῖον χῶρον ὁρῶνιες κισσοῦ τε ἀνάπλεων καὶ δάφνης τὸ ὄρος καὶ ἄλση παντοῖα στεφάνους σπουδῇ ἀπὸ τοῦ κισσοῦ ἐποιοῦντο καὶ ἐστεφανοῦντο ἐφυμνοῦντες καὶ Διόνυσόν τε καὶ τὰς ἐπωμνυμίας τοῦ θεοῦ ἀνακαλοῦντες. — 14. Εἰς τὸν Πηνειὸν ποταμὸν οἱ λοιποὶ τῆς Θετταλίας ποταμοὶ συῤῥέουσι καὶ ἀνακοινοῦνται τὸ ὕδωρ αὐτῷ καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν. — 15. Ἐπειδὴ οἱ Ἡρακλεῖδαι ἐκράτησαν Πελοποννήσου, τρεῖς ἱδρύσαντο βωμοὺς πατρῴου Διός, καὶ ἐπὶ τούτων ἔθυσαν καὶ ἐκληρώσαντο τὰς πόλεις. — 16. Μαρδόνιος ὁ Πέρσης, μετέωρος ὢν τῷ φρονήματι καὶ τὴν ἡλικίαν*) ἀκμάζων, ἐπεθύμησε μεγάλων δυνάμεων ἀφηγήσασθαι· διόπερ ἔπεισε τὸν Ξέρξην καταδουλώσασθαι τοὺς Ἕλληνας, ἀεὶ πολεμικῶς ἔχοντας πρὸς τοὺς Πέρσας. —

C. Passivum.

a. Verba auf ἀω.

1. Οὐκ ἀεικὲς παρὰ τοῖς παλαιοῖς, ἐάν τις ὑπ' ἐχθρῶν ἐξαπατᾶται. — 2. Τὸ ἀπατηλὸν τῆς ποιητικῆς ἀνοήτων οὐχ ἅπτεται· Διὸ καὶ Σιμωνίδης ὁ ποιητὴς ἀπεκρίνατο τῷ ἐρωτήσαντι, τί δὴ μόνους οὐκ ἐξαπατᾷς Θετταλούς, Ἀμαθέστεροι γάρ εἰσιν ἢ ὡς ὑπ' ἐμοῦ ἐξαπατᾶσθαι. — 3. Εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργέτει, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφέλει, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρῶ εὖ ποιεῖν. — 4. Δημόκριτος λέγει· στάσις ἐμφύλιος εἰς

*) Accus. der Beziehung. —

ἑκάτερα [1]) κακόν· καὶ γὰρ τοῖς νικῶσι καὶ τοῖς ἡσσωμένοις ὁμοία φθορά. — 5. Κῦρος παραινέσας τοῖς φίλοις βοηθεῖν τῷ Γαδάτᾳ ἔλεγεν· Εἰ ἀμελοῖμεν τοῦ Γαδάτα, πρὸς τῶν θεῶν, ποίοις λόγοις ἄλλους πείθοιμεν ἂν χαρίζεσθαί τι ἡμῖν; πῶς δ' ἂν τολμῷμεν ἡμᾶς αὐτοὺς ἐπαινεῖν; πῶς δ' ἂν ἀντιβλέποι τις ἡμῶν Γαδάτᾳ, εἰ ἡττώμεθα αὐτοῦ εὖ ποιοῦντος, τοσοίδε ὄντες, ἑνὸς ἀνδρός; — 6. Ὀρφεύς, ὃς ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα, διαφερόντως ἐν ταῖς Θήβαις ἐτιμᾶτο. — 7. Ἀσκῶν τὴν κιθαρῳδίαν διεβοᾶτο Ἀμφίων ὁ τῶν Θηβῶν βασιλεύς· καὶ γὰρ ἐκεῖνος οὕτως ᾄσαι λέγεται, ὥστε τῇ λύρᾳ τοὺς λίθους ἐπακολουθῆσαι αὐτοῦ τὴν πόλιν τειχίσαντος. — 8. Λαρδανεῖς, Ἰλλυρικὸν ἔθνος, τρὶς ἐν τῷ βίῳ λούεσθαι λέγονται· ὅταν γεννῶνται, καὶ ἐπὶ γάμοις καὶ τελευτῶντες. — 9. Δημήτηρ, μεγίστων ἀνθρώποις ἀγαθῶν αἰτία, ἐπιφανέστατα ἐτιμήθη ἑορταῖς καὶ πανηγύρεσι μεγαλοπρέπεσιν οὐ παρ' Ἕλλησι μόνον, ἀλλὰ καὶ παρὰ πᾶσι σχεδὸν τοῖς βαρβάροις. — 10. Κλεάνθης διεβοήθη ἐπὶ φιλοπονίᾳ· πένης γὰρ ὤν, νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ' ἡμέραν [2]) δὲ ἐν τοῖς λόγοις ἐγυμνάζετο. — 11. Ἀνάχαρσις ἐρωτηθείς, τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον, ἔλεγε, Γλῶσσα. — 12. Ἀριστοτέλης ἐρωτηθείς, τί περιγίγνεται κέρδος τοῖς ψευδομένοις, ἀπεκρίνατο, ὅταν λέγωσιν ἀλήθειαν, μὴ πιστεύεσθαι. —

b) Verba auf έω.

1. Ἡ Δημήτηρ τοῦ σίτου φυομένου μέν, ἀγνοουμένου δὲ παρ' ἀνθρώποις, πρώτη συνεκόμισε καὶ τὴν

---

1) nach beiden Seiten, d. i. beide Parteien. — 2) bei Tage. —

κατεργασίαν αὐτοῦ καὶ φυλακὴν ἐπενόησε καὶ σπείρειν κατέδειξε· δίφρον δὲ κατασκευάσασα πτηνῶν δρακόντων τὴν ὅλην οἰκουμένην κατέσπειρεν. — 2. Φιλοῦντες φιλοῦνται, μισοῦντες μισοῦνται. — 3. Λοιδορούμενος φέρε· ὁ γὰρ λοιδορῶν, ἐὰν ὁ λοιδορούμενος μὴ προσποιῆται, λοιδορεῖται αὐτὸς τῷ λοιδορεῖν. — 4. Ὁ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος καλεῖται θάνατος· μηδεὶς δὲ φοβείσθω θάνατον, ἀπόλυσιν κακῶν. — 5. Δημήτηρ προσεκαλεῖτο Θεσμοφόρος, ὅτι καὶ νόμους εἰσηγήσατο τοῖς ἀνθρώποις· καὶ διὰ τοῦτο αὐτῇ [1]) τὰ Θεσμοφόρια ἐτελεῖτο. — 6. Τέλης ὁ φιλόσοφος λέγει· διὰ κέρδος ἱερὰ συλᾶται, ἡ φιλία παραβαίνεται, πίστις ἀμελεῖται, οἱ πλησίον ἀδικοῦνται, οὐδὲ ἓν ὀκνεῖται κακόν. — 7. Ἀρταξέρξης, ὁ Ὦχος καλούμενος, διὰ τὴν χαλεπότητα τῶν τρόπων ὑπὸ τῶν Περσῶν ἐμισεῖτο. — 8. Καλῶς μοι δοκεῖ Λυκοῦργος νομοθετῆσαι, ἢ μέχρι γήρως ἀσκοῖτ' ἂν ἀρετή· ἐπὶ γὰρ τῷ τέρματι τοῦ βίου τὴν κρίσιν τῆς γεροντίας [2]) διατάξας ἐποίησε μηδὲν ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκαγαθίαν. — 9. Ὡς Ἀναξαγόρας ποτὲ ὑπὸ Περικλέους ἀσχολουμένου ἠμελεῖτο, συνεκαλύψατο ἤδη γηραιὸς ἀποκαρτερῶν, ὁ δέ, ταῦτ' ἀκούσας, θεῖ εὐθὺς ἐπὶ τὸν ἄνδρα καὶ δεῖται, μὴ ἀποστερῇ αὐτὸν τοιούτου τῆς πολιτείας συμβούλου· τότ' οὖν ἐκκαλυψάμενος Ἀναξαγόραν πρὸς αὐτὸν ἀποκρίνασθαι λέγεται· Ὦ Περίκλεις καὶ οἱ τοῦ λύχνου χρείαν ἔχοντες ἔλαιον ἐπιχέουσιν. — 10. Ἐπαινουμένων τῶν Ἠλείων ἐπὶ τῷ τὰ Ὀλύμπια καλῶς ἄγειν, ἔλεξεν Ἄγις ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, Τί δὲ ποιοῦσι θαυμαστόν, εἰ δι' ἐτῶν τεσσάρων μιᾷ ἡμέρᾳ χρῶνται τῇ δικαιοσύνῃ; — 11. Ἀρχιδαμίδας πρὸς τὸν ἐπαινοῦντα Χαρίλαν, ὅτι πρὸς ἅπαντας

1) Ihr zu Ehren. — 2) Nur wer 60 Jahr alt war, konnte zum Mitgliede der γερουσία (des Rathes) gewählt werden.

ὁμοίως πρᾷος ἦν, ἔλεγε, Καὶ πῶς τις δικαίως ἂν ἐπαινοῖτο, εἰ καὶ πρὸς τοὺς πονηροὺς πρᾷος εἴη; — 12. Ἀλέξανδρος ὡς ἦκεν ἐπὶ τὸν Ἰνδὸν ποταμόν, καταλαμβάνει γέφυράν τε ἐπ' αὐτῷ πεποιημένην πρὸς Ἡφαιστίωνος καὶ πλοῖα πολλά. — 13. Τοῖς Ῥωμαίοις ἐκ παλαιοῦ ἐπήσκητο, ἐπὶ τοῖς μεγάλοις ποταμοῖς, οἷον ἐπὶ τῷ Ῥήνῳ καὶ τῷ Ἴστρῳ ζεῦγμα ποιεῖσθαι διὰ τῶν νεῶν. — 14. Γναῖος Πομπήϊος, καὶ ὁ Μέγας προσαγορευθείς, ὑπὸ Ῥωμαίων ἠγαπήθη τοσοῦτον, ὅσον ὁ πατὴρ ἐμισήθη*). — 15. Ὁ πλούτῳ καὶ χρήμασι δουλεύων καταφρονείσθω, ὡς μικρόψυχος καὶ ἀνελεύθερος. — 16. Ἀγαμέμνων ἀπονοστήσας μετὰ τὴν Ἰλίου ἅλωσιν ὑπ' Αἰγίσθου καὶ Κλυταιμνήστρας ἀνῃρέθη· Ὀρέστης δὲ τοὺς φονεῖς τοῦ πατρὸς ἐτιμωρήσατο. — 17. Ἡ νῆσος Εὔβοια διὰ τὴν στενότητα καὶ τὸ μῆκος ὑπὸ τῶν παλαιῶν Μάκρις ὠνομάσθη. Οὐ μόνον δὲ Μάκρις ἐκλήθη, ἀλλὰ καὶ Ἀβαντίς, καὶ οἱ ἐποικήσαντες τὴν νῆσον Ἄβαντες ἐκλήθησαν. — 18. Κολάζεται Σίσυφος ἐν Ἅιδου πέτρον ταῖς χερσὶ καὶ τῇ κεφαλῇ κυλίων καὶ τοῦτον ὑπερβάλλειν θέλων· οὗτος δὲ ὠθούμενος ὑπ' αὐτοῦ ὠθεῖται πάλιν εἰς τοὐπίσω. — 19. Οἱ Λακεδαιμόνιοι, ἐπειδὴ τὴν μάχην ἡττήθησαν τὴν ἐν Λεύκτροις, ἀπεστερήθησαν τῆς ἐν τοῖς Ἕλλησι δυνασείας.

c. Verba auf όω.

1. Τὸ ἦθος μάλιστα ἐκ τῶν ἔργων δηλοῦται. — 2. Ἡ φιλία εἰς πολλοὺς μεριζομένη ἐξαμαυροῦται ἄν. — 3. Πῶς ἄν τις ἧττον ὑπὸ πόλεως ζημιοῖτο, πῶς δ' ἄν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς τῆς πόλεως νόμοις πείθεσθαι ἐπιχειροίη; — 4. Φινεὺς ὁ μάντις τὰς ὄψεις πεπηρω-

*) Sowohl wegen seines schmutzigen Geizes, als auch wegen mancher Verbrechen, deren man ihn beschuldigte.

μένος ἦν, πηρωθῆναι δὲ λέγεται ὑπὸ τῶν θεῶν, ὅτι προὔλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα. — 5. Αἱ πόλεις αἱ ἐν τῇ παρὰ Ἰνδὸν χώρᾳ ὑπετάξαντο τῷ Ἀλεξάνδρῳ προσχωροῦντι, οὐδέ τις ἐτράπετο ἐς ἀλκήν· οὕτω καὶ Ἰνδοὶ πάντες ἐδεδούλωντο ἤδη τῇ γνώμῃ πρὸς Ἀλεξάνδρου τε καὶ τῆς Ἀλεξάνδρου τύχης. — 6. Βουλευέσθων οἱ πολῖται περὶ τῆς πατρίδος, ἐνθυμούμενοι, ὅτι ἐπιθυμίᾳ μὲν ἐλάχιστα κατορθοῦνται, προνοίᾳ δὲ πλεῖστα. — 7. Παρὰ Ῥωμαίοις πρότερον ὁ ἐνιαυτὸς συνεπληροῦτο δέκα μησίν, οὐ δώδεκα, καὶ πρῶτος μὴν ἠριθμεῖτο ὁ Μάρτιος. — 8. Ἀγησιλάου τοῖς Πέρσαις ἐν Ἀσίᾳ πολεμοῦντος, οἱ Θηβαῖοι καὶ Ἀθηναῖοι τρισμυρίοις δαρεικοῖς ἐξεπολεμωθησαν πρὸς τοὺς Σπαρτιάτας. — 9. Οἱ οἰκήτορες τῆς Νύσης τῆς Ἰνδίας παρ' Ἀλεξάνδρου παρητήσαντο ἐλευθέρους τε καὶ αὐτονόμους ἐᾶσαι· ὁ δὲ ἠξίωσε τῶν τε ἱππέων αὐτῷ ξυμπέμψαι ἐς τριακοσίους καὶ τῶν ἀρχόντων τοῦ πολιτεύματος (ἦσαν δὲ καὶ αὐτοὶ τριακόσιοι) ἑκατὸν τοὺς ἀρίστους ἐπιλεξάμενος. Τὸν δὲ προστάτην τῆς πόλεως ταῦτα ἀκούσαντα ἐπιμειδιᾶσαι λέγεται τῷ λόγῳ· καὶ Ἀλέξανδρον ἐρωτῆσαι ἐφ' ὅτῳ ἐγέλασεν· ἀποκρίνασθαι δ' ἐκεῖνον· καὶ πῶς ἄν, ὦ βασιλεῦ, μία πόλις ἑκατὸν ἀνδρῶν ἀγαθῶν ἐρημωθεῖσα ἔτι καλῶς πολιτεύοιτο; καὶ ταῦτα λέξας ἔπεισεν Ἀλέξανδρον, ἄλλους ἑκατὸν αἰτῆσαι. — 10. Ἐν τῷ πρὸς τοὺς Πελοποννησίους πολέμῳ πόλεις Ἑλληνίδες ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων, αἱ δ' ὑπὸ σφῶν αὐτῶν. — 11. Ἅιδης κατηγορίαν Ἀσκληπιοῦ ἐποιήσατο πρὸς Δία, ὡς [1]) τῆς ἐπαρχίας αὐτοῦ ταπεινουμένης· ἐλάττους γὰρ ἀεὶ γίγνεσθαι τοὺς τετελευτηκότας, θεραπευομένους ὑπὸ τοῦ Ἀσκληπιοῦ· ὁ δὲ Ζεὺς παροξυνθεὶς ἐκεραύνωσε τὸν Ἀσκληπιόν καὶ διέφθειρεν. — 12. Τὸ παλαιὸν [2]) παρ' Ἀθη-

1) ὡς deutet den Grund an. — 2) Vor Alters.

ναίοις ἡ πολιτεία εἰς τρία μέρη διήρητο· καὶ πρώτη μὲν ὑπῆρξε μερὶς οἱ εὐπατρίδαι[1]) καλούμενοι, οἵτινες ὑπῆρχον ἐν παιδείᾳ μάλιστα διατετριφότες καὶ τῆς μεγίστης ἠξιωμένοι τιμῆς· δευτέρα δὲ τάξις ἦν ἡ τῶν γεωμόρων, τῶν ὀφειλόντων ὅπλα κεκτῆσθαι καὶ πολεμεῖν ὑπὲρ τῆς πόλεως· τελευταία δὲ μερὶς κατηριθμήθη ἡ τῶν δημιουργῶν, τῶν τὰς βαναύσους τέχνας μεταχειριζομένων καὶ τὰς ἀναγκαιοτάτας λειτουργίας τελούντων. —

Erzählungen.

1. Einige Scherze aus Hierokles.

1. Σχολαστικὸς νοσοῦντα ἐπισκεπτόμενος ἠρώτα περὶ τῆς ὑγιείας· ὁ δὲ οὕτω διενόσει, ὥστ' οὐκ ἀποκρίνασθαι. Ὀργισθεὶς οὖν ἐξήλεγξεν· Ἐλπίζω καμὲ νοσῆσαι καὶ ἐρωτήσαντί σοι μὴ ἀποκρίνασθαι. — 2. Σχολαστικὸς ἰατρῷ συναντήσας ἔλεξε· Συγχώρησόν μοι καὶ μή μοι μέμψῃ, ὅτι τοσοῦτον χρόνον οὐκ ἐνόσησα. — 3. Σχολαστικός τινι συναντήσας ἔλεξεν· Ἤκουσα, ὅτι ἐτελεύτησας· κἀκεῖνος ἀπεκρίνατο· Ἀλλ' ὁρᾷς με ἔτι ζῶντα. Καὶ ὁ σχολαστικός, Καὶ μὴν ὁ λέξας μοι μᾶλλον σοῦ ἀξιοπιστότερός ἐστιν. — 4. Διδύμων ἀδελφῶν εἷς ἐτελεύτησε· σχολαστικὸς οὖν ἀπαντήσας τῷ ζῶντι ἠρώτα· Σὺ τετελεύτηκας ἢ ὁ ἀδελφός σου; —

2. Kürzere Erzählungen und Anekdoten.

1. Βουλομένους τοὺς Πέρσας ἀντὶ τῆς ἑαυτῶν, οὔσης ὀρεινῆς καὶ τραχείας, πεδιάδα καὶ μαλακὴν χώ-

---

2) οἱ εὐπατρίδαι wird durch den Artikel als das Subj. bezeichnet, obgleich das Verbum wegen der Stellung zu μερὶς im Singular steht. —

ραν αἱρεῖσθαι, οὐκ εἴασεν ὁ Κῦρος, λέγων, ὅτι καὶ τῶν φυτῶν τὰ σπέρματα καὶ τῶν ἀνθρώπων οἱ βίοι ταῖς χώραις συνεξομοιοῦνται. — 2. Φίλιππος, ὁ Ἀλεξάνδρου πατήρ, ἔλεγεν, χάριν ἔχειν, ὅτι λοιδοροῦντες αὐτὸν βελτίονα ποιοῦσι καὶ τῷ λόγῳ καὶ τῷ ἤθει· Πειρῶμαι γὰρ αὐτοὺς ἅμα καὶ τοῖς λόγοις καὶ τοῖς ἔργοις ψευδομένους ἐλέγχειν. — 3. Ἀλέξανδρος, μέλλων τὴν ἐπὶ Γρανίκῳ μάχην μάχεσθαι, παρεκάλει τοὺς Μακεδόνας ἀφθόνως δειπνεῖν καὶ πάντα φέρειν εἰς μέσον, ὡς αὔριον δειπνήσοντας ἐκ τῶν πολεμίων. — 4. Ἀλέξανδρος, ἐν τῇ Μιλήτῳ πολλοὺς ἀνδριάντας ἀθλητῶν θεασάμενος Ὀλύμπια καὶ Πύθια [1]) νενικηκότων, ἠρώτησε, Καὶ ποῦ τὰ τηλικαῦτα ἦν σώματα, ὅτε οἱ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκουν; — 5. Τῶν δὲ πρώτων φίλων καὶ κρατίστων τιμᾶν μὲν ἐδόκει Κρατερὸν μάλιστα πάντων, φιλεῖν δὲ Ἡφαιστίωνα. Ἔλεγε γάρ, ὅτι Κρατερὸς μὲν φιλοβασιλεύς ἐστιν, Ἡφαιστίων δὲ φιλαλέξανδρος. — 6. Πτολεμαῖος ὁ Λάγου τὰ πολλὰ [2]) παρὰ τοῖς φίλοις ἐδείπνει καὶ ἐκάθευδεν· εἰ δέ ποτε δειπνίζοι, τοῖς ἐκείνων ἐχρῆτο, μεταπεμπόμενος ἐκπώματα καὶ στρώματα καὶ τραπέζας· αὐτὸς δὲ οὐκ ἐκέκτητο πλείω τῶν ἀναγκαίων, ἀλλὰ τοῦ πλουτεῖν ἔλεγε τὸ πλουτίζειν εἶναι βασιλικώτερον. — 7. Λέγεται ὁ Θεμιστοκλῆς οὕτω παράφορος πρὸς δόξαν εἶναι καὶ πράξεων μεγάλων ὑπὸ φιλοτιμίας ἐραστής, ὥστε νέος ὢν ἐκ τῆς ἐν Μαραθῶνι μάχης πρὸς τοὺς βαρβάρους γενομένης καὶ τῆς Μιλτιάδου στρατηγίας διαβοηθείσης, σύννους ὁρᾶσθαι τὰ πολλὰ [2]) πρὸς ἑαυτῷ καὶ τὰς νύκτας ἀγρυπνεῖν, καὶ τοὺς πότους παραιτεῖσθαι τοὺς συνήθεις, καὶ λέγειν πρὸς τοὺς ἐρωτῶντας καὶ θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολήν, ὡς καθεύ-

1) In den olympischen und pythischen Spielen. — 2) meistentheils. —

δειν αὐτὸν οὐκ ἐῴη τὸ τοῦ Μιλτιάδου τρόπαιον. Οἱ μὲν γὰρ ἄλλοι πέρας ᾤοντο τοῦ πολέμου τὴν ἐν Μαραθῶνι τῶν βαρβάρων ἧτταν εἶναι, Θεμιστοκλῆς δὲ ἀρχὴν μειζόνων ἀγώνων, ἐφ' οὓς ἑαυτὸν ὑπὲρ τῆς ὅλης Ἑλλάδος ἤλειφεν ἀεὶ καὶ τὴν πόλιν ἤσκει πόῤῥωθεν ἤδη προσδοκῶν τὸ μέλλον. — 8. Ἀδειμάντου ναυμαχεῖν μὴ τολμῶντος, λέγοντος δὲ πρὸς τὸν Θεμιστοκλέα τοὺς Ἕλληνας παρακαλοῦντα καὶ προτρέποντα, Ὦ Θεμιστόκλεις, τοὺς ἐν τοῖς ἀγῶσι προεξορμῶντας μαστιγοῦσιν [1]), ἔλεξε, Ναί, ὦ Ἀδείμαντε· τοὺς δὲ λειπομένους οὐ στεφανοῦσιν. — 9. Τιμόθεος εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι· καὶ φθονοῦντές αὐτῷ τινες ἐζωγράφουν τὰς πόλεις εἰς κύρτον αὐτομάτως ἐκείνου καθεύδοντος ἐνδυομένας· ἔλεγεν οὖν ὁ Τιμόθεος, Εἰ τηλικαύτας πόλεις λαμβάνω καθεύδων, τί με οἴεσθε ποιήσειν ἐγρηγορότα [2]); — 10. Ἀλεξάνδρου τοῦ βασιλέως ἑκατὸν τάλαντα δωρεὰν τῷ Φωκίωνι πέμψαντος, ἠρώτησε τοὺς κομίζοντας, τί δή ποτε, πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ μόνῳ ταῦτα πέμπει Ἀλέξανδρος· λεγόντων δὲ ἐκείνων, ὡς μόνον αὐτὸν ἡγεῖται καλὸν κἀγαθὸν εἶναι, ἔλεξεν, Οὐκοῦν ἐασάτω με καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον. — 11. Ἀγησίλαος, βουλόμενος τὴν πρὸς τὸν Πέρσην ποιήσασθαι στρατείαν, ὡς ἐλευθερώσων τοὺς ἐν τῇ Ἀσίᾳ Ἕλληνας, τῷ κατὰ Δωδώνην Διὸς ἐχρήσατο μαντείῳ· κελεύσαντος δ' ἐκείνου, ὡς δοκεῖ, στρατεύεσθαι, τὸ χρησθὲν ἀνήγγειλε τοῖς ἐφόροις. Οἱ δ' ἐκέλευσαν αὐτὸν καὶ ἐν Δελφοῖς περὶ τῶν αὐτῶν ἐρωτᾶν. Πορευθεὶς οὖν εἰς τὸ μαντεῖον, ἐπηρώτησεν οὕτως, Ἄπολλον, ἦ δοκεῖ σοί, ὃ καὶ τῷ πατρί; Συναινέσαντος δὲ αἱρεθεὶς οὕτως ἐστρατεύσατο. — 12. Ἀριστοτέλης ἐνοχλούμενος ὑπὸ ἀδολέσχου καὶ κοπτόμενος ἀτόποις τοῖς διηγήμασι,

---

1) Als Subject ist aus dem Zusammenhange zu ergänzen: die Kampfrichter (ἀγωνοθέται). — 2) ἐγείρω.

πολλάκις αὐτοῦ λέγοντος, Οὐ θαυμαστόν, Ἀριστότελες; — Οὐ τοῦτο, ἔλεγε, θαυμαστόν· ἀλλ' εἴ τις πόδας ἔχων σὲ ὑπομένει. — 13. Πρὸς τὸν ἐπιθαυμάζοντα τὴν μετριότητα τῆς ἐσθῆτος καὶ τῆς τροφῆς Ἀγησιλάου καὶ τῶν ἄλλων Λακεδαιμονίων ἐκεῖνος ἔλεγεν· Ἀντὶ ταύτης τῆς διαίτης, ὦ ξένε, τὴν ἐλευθερίαν ἀμώμεθα. — 14. Χιόνος ποτὲ πιπτούσης, ἠρώτησέν ὁ βασιλεὺς τῶν Σκυθῶν τινα, εἰ ῥιγοῖ, γυμνὸν διακαρτεροῦντα· ὁ δὲ αὐτὸν ἀντηρώτησεν, εἰ τὸ μέτωπον [1]) ῥιγοῖ· τοῦ δέ, Οὐ, λέξαντος, ἀπεκρίνατο, Οὐκοῦν, οὐδὲ ἐγώ, πᾶς γὰρ μέτωπόν εἰμι. — 15. Λέγουσί τινες, ὅτι κοσμήσας ἑαυτὸν Κροῖσος ὁ Λυδὸς παντοδαπῶς, καὶ καθίσας εἰς τὸν θρόνον, ἠρώτησε τὸν Σόλωνα, εἴ τι θέαμα κάλλιον τεθέαται· ὁ δὲ ἀπεκρίνατο, Ἀλεκτρυόνας καὶ φασιανοὺς καὶ ταὼς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ [2]) καλλίονι. —

3. Oeffentlich bestrafte Wortbrüchigkeit.

Μετὰ τὸν τοῦ Λυσάνδρου θάνατον ὁ τὴν θυγατέρα αὐτοῦ ἔτι ζῶντος ἐγγυησάμενος, ἐπεὶ καὶ ἡ παῖς ἐρήμη πατρὸς ἀπελείπετο, καὶ ὁ Λύσανδρος μετὰ τὴν τοῦ βίου καταστροφὴν ἀνεφάνη πένης ὤν, οὗτος ἀνεδύετο ὁ ἐγγυησάμενος καὶ οὐδὲ ἔφασκεν ἄξεσθαι γυναῖκα. Ἐπὶ τούτοις οἱ ἔφοροι τὸν ἄνδρα ἐζημίωσαν. Οὔτε γὰρ Λακωνικὰ ἐφρόνει, οὔτε ἄλλως Ἑλληνικά, φίλου τε μάχῃ ἀποκτανέντος ἀμνημονῶν καὶ τῶν συνθηκῶν τὸν πλοῦτον προτιμῶν. —

---

1) An der Stirn. — 2) Dativ des Maßes (um wie viel) beim Compar.; *καλλίονι* ist Dativ. instrumentalis, zu verbinden mit *ἄνθει*. —

4. Tantalus' Uebermuth und Strafe.

Τάνταλος ὁ Διὸς πλούτῳ καὶ δόξῃ διαφέρων κατῴκει τῆς Ἀσίας περὶ τὴν νῦν ὀνομαζομένην Παφλαγονίαν. Διὰ δὲ τὴν εὐγένειαν ἠξιώθη, ἄνθρωπος ὤν, γίγνεσθαι τοῖς θεοῖς ὁμοτράπεζος, καὶ ἀκούων τὰ λαλούμενα παρ' αὐτῶν, κατερχόμενος ἔλεγε τοῖς ἀνθρώποις. Καὶ διὰ τοῦτο οἱ θεοὶ ὀργισθέντες κολάζουσιν αὐτὸν ἐν τῷ Ἅιδῃ· θεωρῶν γὰρ δένδρα πεπληρωμένα καρπῶν καὶ ποταμοὺς παραῤῥέοντας οὐδὲν αὐτῶν δυνατός ἐστι γεύσασθαι· αὐτοῦ γὰρ ἐπιχειροῦντος λαμβάνειν, φεύγει. —

5. Alkibiades' Uebermuth gegen Andere.

Ἐθαύμαζον τὸν Ἀλκιβιάδην ἅπαντες οἱ Ἀθηναῖοι, ὁρῶντες αὐτὸν Σωκράτει μὲν συνδειπνοῦντα καὶ συμπαλαίοντα καὶ συσκηνοῦντα, τοῖς δ' ἄλλοις ἐρασταῖς χαλεπὸν ὄντα καὶ δυσχείρωτον, ἐνίοις δὲ καὶ παντάπασι σοβαρῶς προσφερόμενον, ὥςπερ Ἀνύτῳ τῷ Ἀνθεμίωνος. Ἦν μὲν γὰρ ἐρῶν τοῦ Ἀλκιβιάδου· ξένους δέ τινας ἐστιῶν, ἐκάλει κἀκεῖνον ἐπὶ τὸ δεῖπνον. Ὁ δὲ τὴν μὲν κλῆσιν ἀπηγόρευσεν, ἑστιασάμενος δ' οἴκοι μετὰ τῶν ἑταίρων, ἐκώμασε πρὸς τὸν Ἄνυτον καὶ ἐκ τῶν θυρῶν τοῦ ἀνδρῶνος θεασάμενος ἀργυρῶν ἐκπωμάτων καὶ χρυσῶν πλήρεις τὰς τραπέζας, ἐκέλευσε τοὺς παῖδας τὰ ἥμίση οἴκαδε κομίζειν πρὸς αὐτόν. Συνδειπνεῖν δ' οὐκ ἠξίωσεν, ἀλλὰ ταῦτα πράξας ἀπεχώρησεν. Τῶν οὖν ξένων δυσχεραινόντων καὶ λεγόντων, ὡς ὑβριστικῶς καὶ ὑπερηφάνως εἴη τῷ Ἀνύτῳ κεχρημένος ὁ Ἀλκιβιάδης· Ἐπεικῶς μὲν οὖν, ἀπεκρίνατο ὁ Ἄνυτος, καὶ φιλανθρώπως· ἃ γὰρ ἔξῆν αὐτῷ ἀποκομίζειν ἅπαντα, τούτων ἡμῖν τὰ ἥμίση καταλέλοιπεν. Οὕτως ἦ ὁμοίως πως καὶ τοῖς ἄλλοις ἐρασταῖς ἐχρῆτο. —

Dritter Cursus.

I. Erzählungen,

besonders zur Einübung der Verba auf μι.

1. Vermischte Anekdoten.

1. Ὀρόντης, ὁ βασιλέως Ἀρταξέρξου γαμβρός, ἀτιμίᾳ περιπεσὼν δι' ὀργὴν καὶ καταγνωσθείς, Καθάπερ, ἔφη, οἱ τῶν ἀριθμητικῶν δάκτυλοι νῦν μὲν μυριάδας, νῦν δὲ μονάδα τιθέναι δύνανται, τὸ αὐτὸ καὶ τοὺς τῶν βασιλέων φίλους νῦν μὲν τὸ πᾶν δύνασθαι, νῦν δὲ τοὐλάχιστον. — 2. Ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως· γενόμενος δὲ κύριος Σικελίας καὶ βασιλεὺς ἀναγορευθείς, εἰώθει κεράμεα ποτήρια τιθέναι παρὰ χρυσᾶ καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν, Ὅτι τοιαῦτα ποιῶν πρότερον, νῦν ταῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρείαν. — 3. Λίωνι ἔγραψε Σπεύσιππος [1]), μὴ μέγα φρονεῖν, ἀλλ' ὁρᾶν, ὅπως ὁσιότητι καὶ δικαιοσύνῃ καὶ νόμοις ἀρίστοις κοσμήσας Σικελίαν εὐκλεᾶ θήσει τὴν Ἀκαδημίαν. — 4. Κλεομένης, ἐρτῶντός τινος αὐτόν, διὰ τί Σπαρτιᾶται τοῖς θεοῖς οὐκ ἀνατιθέασι τὰ ἀπὸ τῶν πολεμίων σκῦλα, Ὅτι, ἔφη, ἀπὸ δειλῶν ἐστι· τὰ γοῦν ἀπὸ τῶν κεκτημένων διὰ δειλίαν θηραθέντα οὔτε τοὺς νέους ὁρᾶν καλόν, οὔτε τοῖς θεοῖς ἀνατιθέναι. — 5. Ξενοφῶντι θύοντι ἦκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων, τὸν υἱὸν αὐτῷ Γρύλλον τεθνάναι [2]).

---

1) Speusippos war der Nachfolger des Plato in der Leitung der akademischen Schule. — 2) St. in Arkadien, bei welcher Epaminondas gegen die Athener und Lacedämonier kämpfend fiel. — 3) θνήσκω. —

Κἀκεῖνος ἀπέθετο τὸν στέφανον, διετέλει δὲ θύων. Ἐπεὶ δ' ὁ ἄγγελος προσέθηκε καὶ ἐκεῖνο, ὅτι νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον. Ταῦτα μὲν οὖν δημώδη καὶ ἐς πολλοὺς ἐκπεφοίτηκεν. — 6. Σόλων τοῖς ἐν Πρυτανείῳ σιτουμένοις μάζαν παρέχειν κελεύει, ἄρτον δὲ ταῖς ἑορταῖς προσπαρατιθέναι. — 7. Ἀλέξανδρος, νοσήσας μακρὰν νόσον ὡς ἀνέῤῥωσεν, Οὐδέν, ἔφη, διατεθῆναι χεῖρον, ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα φρονεῖν, ὡς θνητοὺς ὄντας. — 8. Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεύς, τριῶν αὐτῷ προσαγγελθέντων εὐτυχημάτων ὑφ' ἕνα καιρόν, ἀνατείνας εἰς οὐρανὸν τὰς χεῖρας ἔλεξεν· Ὦ δαῖμον, μέτριόν τι τούτοις ἀντίθες ἐλάττωμα, εἰδώς, ὅτι τοῖς μεγάλοις εὐτυχήμασι φθονεῖν πέφυκε ἡ τύχη. — 9. Περίανδρος, εἷς τῶν ἑπτὰ καλουμένων σοφῶν, τύραννος Κορίνθου, ἐρωτηθείς, διὰ τί οὐκ ἀποτίθεται τὴν ἀρχήν, εἶπεν· Ὅτι τῷ καὶ' ἀνάγκην ἄρχοντι καὶ τὸ ἑκουσίως ἀποστῆναι τῆς ἀρχῆς κίνδυνον φέρει. — 10. Διονύσιος Ἀρίστιππον ἔπειθεν, ἀποθέμενον τὸν τρίβωνα, πορφυροῦν ἱμάτιον περιβαλέσθαι. Καὶ πεισθεὶς ἐκεῖνος τὰ αὐτὰ καὶ Πλάτωνα ποιεῖν ἠξίου, ὁ δὲ ἔφη·

Οὐκ ἂν δυναίμην ἥλυν ἐνδῦναι στολήν.

11. Ἀρχίδαμος, ἐρωτήσαντός τινος αὐτόν· Τίνες προεστήκασι τῆς Σπάρτης; ἔλεγεν· Οἱ νόμοι καὶ τὰ ἀρχεῖα κατὰ τοὺς νόμους. — Ὁ αὐτὸς θεασάμενος τὸν υἱὸν προπετῶς μαχόμενον Ἀθηναίοις· Ἦ τῇ δυνάμει πρόσθες, ἔφη, ἢ τοῦ φρονήματος ὕφες. — 12. Ἀγησίλαος, Φαρσαλίων προσκειμένων καὶ κακουργούντων αὐτοῦ τὸ στράτευμα, πεντακοσίοις ἱππεῦσι τρεψάμενος αὐτούς, τρόπαιον ἔστησεν· καὶ τὴν νίκην ἐκείνην πάντων [2]) ὑπερηγάπησεν, ὅτι συστησάμενος τὸ ἱππικὸν αὐτὸς δι' ἑαυτοῦ, τούτῳ μόνῳ τοὺς μέγιστον ἐφ' ἱππικῇ φρο-

1) ἀναῤῥώννυμι. — 2) Gen. für ἢ πάντα.

νοῦντας ἐκράτησεν [1]). — 13. *Πύρρου, τοῦ τῆς Ἠπείρου βασιλέως, ἐπιστρατεύσαντος Λακεδαιμονίοις καὶ πολλὰ ἀπειλοῦντος, Λερκυλλίδας, εἷς τῶν γερόντων, ἀναστὰς ἐν τῇ ἐκκλησίᾳ, εἶπεν· Εἰ μὲν θεός ἐστιν ὁ ἀπειλῶν, μὴ φοβώμεθα, οὐδὲν γὰρ ἀδικεῖ· εἰ δ' ἄνθρωπος, γνώτω* [2]) *ἀνδράσιν ἀπειλῶν.* — 14. *Ξέρξης, ὀργισθεὶς Βαβυλωνίοις ἀποστᾶσι καὶ κρατήσας, προσέταξεν ὅπλα μὴ φέρειν, ἀλλὰ ψάλλειν καὶ αὐλεῖν καὶ καπηλεύειν καὶ φορεῖν κολπωτοὺς χιτῶνας.* — 15. *Σατιβαρζάνην τὸν κατακοιμιστὴν αἰτούμενόν τι παρ' Ἀρταξέρξου τοῦ Μακρόχειρος τῶν μὴ δικαίων, αἰσθόμενος ἐπὶ τρισμυρίοις δαρεικοῖς τοῦτο ποιοῦντα, ὁ Ἀρταξέρξης τῷ ταμίᾳ προσέταξε τρισμυρίους δαρεικοὺς κομίσαι· καὶ διδοὺς αὐτῷ, Λαβέ, εἶπεν, ὦ Σατιβαρζάνη· ταῦτα μὲν γὰρ δούς, οὐκ ἔσομαι πενέστερος, ἐκεῖνα δὲ πράξας, ἀδικώτερος.* — 16. *Ξένου τινὸς ἰδίᾳ φράσειν φάσκοντος Διονυσίῳ τῷ πρεσβυτέρῳ καὶ διδάξειν, ὅπως προειδῇ τοὺς ἐπιβουλεύοντας, ἐκέλευσεν εἰπεῖν· ἐπεὶ δὲ προσελθών, Δός μοι, εἶπε, τάλαντον, ἵνα δόξῃς ἀκηκοέναι τὰ σημεῖα τῶν ἐπιβουλευόντων· ἔδωκε προσποιούμενος ἀκηκοέναι, καὶ ἐθαύμαζε τὴν μέθοδον τοῦ ἀνθρώπου.* — 17. *Ἀλκιβιάδης ἐλθὼν ἐπὶ θύρας τοῦ Περικλέους καὶ πυθόμενος, αὐτὸν μὴ σχολάζειν, ἀλλὰ σκοπεῖν, ὅπως ἀποδώσει λόγους Ἀθηναίοις, Οὐ βέλτιον, ἔφη, σκοπεῖν ἦν* [3]), *ὅπως μὴ οὐκ ἀποδώσεις;* — 18. *Πρώτην τῷ Ἀλκιβιάδῃ παρόδον εἰς τὸ δημόσιον γενέσθαι λέγουσι μετὰ χρημάτων ἐπιδόσεως, οὐκ ἐκ παρασκευῆς, ἀλλὰ παριόντα, θορυβούντων Ἀθηναίων, ἔρεσθαι τὴν αἰτίαν τοῦ θορύβου· πυθόμενον δέ, χρήματα ἐπιδιδόναι τοὺς πολίτας, παρελθεῖν καὶ ἐπιδοῦ-*

---

1) κρατεῖν in der Bedeutung bezwingen, besiegen, erfordert den Accusativ, nicht den Genitiv des Objects. — 2) γιγνώσκω (er erfahre, was es heißt ꝛc.). — 3) Wäre es nicht besser..

ναι· τοῦ δὲ δήμου κροτοῦντος καὶ βοῶντος, ὑφ' ἡδονῆς ἐπιλαθέσθαι τοῦ ὄρτυγος, ὃν ἐτύγχανον ἔχων ἐν τῷ ἱματίῳ. Πτοηθέντος οὖν καὶ διαφυγόντος, ἔτι μᾶλλον ἐκβοῆσαι τοὺς Ἀθηναίους, πολλοὺς δὲ συνθηρᾶν ἀναστάντας, λαβεῖν δ' αὐτὸν Ἀντίοχον τὸν κυβερνήτην καὶ ἀποδοῦναι· διὸ καὶ προσφιλέστατον γενέσθαι τῷ Ἀλκιβιάδῃ. — 19. Φωκίων, πρὸς θυσίαν τινὰ τῶν Ἀθηναίων αἰτούντων ἐπιδόσεις καὶ τῶν ἄλλων ἐπιδιδόντων, κληθεὶς πολλάκις, Αἰσχυνοίμην ἄν, εἶπεν, ὑμῖν ἐπιδιδούς, τούτῳ δὲ μὴ ἐπιδιδούς[1])· ἅμα δεικνύων τὸν δανειστήν. — 20. Αἰτοῦντος Ἀλεξάνδρου τριήρεις καὶ τοῦ δήμου κελεύοντος ὀνομαστὶ παριέναι τὸν Φωκίωνα καὶ συμβουλεύειν, ἀναστὰς ἔφη, Συμβουλεύω τοίνυν ὑμῖν, ἢ κρατεῖν τοῖς ὅπλοις αὐτούς, ἢ φίλους εἶναι τῶν κρατούντων. — 21. Ἀντίπατρος ἔφη, ὡς, δυεῖν αὐτῷ φίλων Ἀθήνησιν ὄντων, οὔτε Φωκίωνα χρήματα λαβεῖν πέπεικεν, οὔτε Δημάδην διδοὺς ἐμπέπληκεν[2]). — 22. Ἄγις ὁ νεώτερος, τῷ προδότῃ παραδοῦναι στρατιώτας τῶν ἐφόρων κελευόντων, οὐκ ἔφη πιστεύειν τοὺς ἀλλοτρίους[3]) τῷ προδόντι τοὺς ἰδίους. — 23. Λάκαινά τις προϊόντι τῷ υἱῷ ἐπὶ πόλεμον ἀναδιδοῦσα τὴν ἀσπίδα· Ταύτην, ἔφη, ὁ πατήρ σοι ἀεὶ ἔσωζε· καὶ σὺ οὖν ταύτην σῶζε, ἢ ἀπόθανε[4]). — 24. Ἄλλη πρὸς τὸν υἱὸν λέγοντα, μικρὸν ἔχειν τὸ ξίφος, εἶπε· Καὶ βῆμα πρόσθες. — 25. Θεόπομπος πρὸς τὸν ἐρωτήσαντα, πῶς ἄν τις ἀσφαλῶς τηροίη τὴν βασιλείαν, Εἰ τοῖς μὲν φίλοις, ἔφη, μεταδιδοίη παῤῥησίας δικαίας, τοὺς δὲ ἀρχομένους κατὰ δύναμιν μὴ περιορῴη ἀδικουμένους. — 26. Φίλιππος, ὁ τῶν Μακεδόνων βασιλεύς, ἐρωτηθείς, οὕστινας μαλιστα φιλεῖ, καὶ οὕστινας μάλιστα μισεῖ; Τοὺς μέλλοντας, ἔφη, προδιδόναι μά-

1) Phokion war sehr arm. — 2) ἐμπίπλημι. — 3) Subject. 4) ἀποθνήσκω.

λιστα φιλῶ, τοὺς δ' ἤδη προδεδωκότας μάλιστα μισῶ. — 27. Φιλόξενος, παραδοθεὶς ὑπὸ Διονυσίου ποτὲ εἰς τὰς λατομίας διὰ τὸ φαυλίζειν τὰ ποιήματα αὐτοῦ, καὶ ἀνακληθεὶς, ἔπειτα πάλιν ἐπὶ τὴν ἀκροασίαν αὐτῶν ἐκλήθη· μέχρι δέ τινος ὑπομείνας ἀνέστη· πυθομένου δὲ τοῦ Διονυσίου, Ποῖ δὴ σύ; Εἰς τὰς λατομίας, εἶπεν. — 28. Ἐπαμινώνδας ἕνα εἶχε τρίβωνα, καὶ αὐτὸν ὑπῶντα. Εἴ ποτε δὲ αὐτὸν ἔδωκεν [1]) εἰς γναφεῖον [2]), αὐτὸς ὑπέμενεν οἴκοι δι' ἀπορίαν ἑτέρου. Ἐν δὴ τούτοις ἄπορος ὤν, τοῦ Περσῶν βασιλέως πέμψαντος αὐτῷ πολὺ χρυσίον, οὐ προσήκατο· καὶ ἔμοιγε μεγαλοφρονέστερος εἶναι δοκεῖ τοῦ διδόντος ὁ μὴ λαβών. — 29. Πρέσβεις ἦκον παρὰ βασιλέως χρυσὸν κομίζοντες, βουλόμενοι δωροδοκῆσαι τὸν Ἐπαμινώνδαν· ὁ δὲ αὐτοὺς εἰς ἄριστον εἰσεδέξατο, (ἤδει γὰρ ἐφ' ᾧστινι [3]) ἦκον) καὶ ἐκέλευσεν αὐτοὺς πρότερον ἀριστᾶν, εἶτα λέγειν περὶ ὅτου βούλοιντο. Παρατεθειμένης δὲ τραπέζης φαύλης καὶ ὀξίνην ἔπινον. Οἱ μὲν οὐκ εἶχον, ὅ τι καὶ εἴποιεν ἐπὶ τούτοις· ὁ δὲ διαμειδιάσας, Ἄπιτε, ἔφη, καὶ λέγετε τῷ δεσπότῃ τῷ ὑμετέρῳ, οἷα ἄριστα ἀριστῶ, καὶ συνήσει, ὡς ἔγωγ' οὐκ ἂν προδοίην τούτοις ἀρκούμενος. — 30. Ἀριστοτέλης ὁ Κυρηναῖος [4]) ἔλεγε, μὴ δεῖν εὐεργεσίαν παρά τινος προίεσθαι. Ἢ γὰρ ἀποδιδόναι πειρώμενον [5]), πράγματα ἂν ἔχειν, ἢ μὴ ἀποδιδόντα, ἀχάριστον φαίνεσθαι. — 31. Πιττακὸς ὁ Μυτιληναίων τύραννος ὑποχείριον ἀφῆκεν, ἐπιφθεγξάμενος, ὡς συγγνώμη τιμωρίας αἱρετωτέρα. — 32. Ἥρίστα ποτὲ Διογένης ἐν καπηλείῳ· εἶτα παριόντα ἀημοσθένη ἐκάλει. Τοῦ δὲ μὴ ὑπακούσαντος, Αἰσχύνῃ,

1) Nor. des Pflegens. — 2) zum Waschen; die Mäntel bestanden aus einem weißen, wollenen Zeuge. — 3) zu welchem Zwecke. — 4) nicht der berühmte Philosoph dieses Namens, sondern einer von der Schule des Aristippus, der das höchste Vergnügen für das höchste Gut hielt. — 5) Das Part. aufzul. durch wenn. —

ἔφη, Δημόσθενες, εἰσιέναι εἰς καπηλεῖον; καὶ μὴν ὁ κύριός σου καθ' ἑκάστην ἡμέραν ἐνθάδε εἴσεισι, τοὺς δημότας λέγων, καὶ τοὺς καθ' ἕνα[1]). Ἐδήλωσε δέ, ὅτι οἱ δημηγόροι καὶ οἱ ῥήτορες δοῦλοι τοῦ πλήθους εἰσίν. — 33. Ἐπανῄει ποτὲ ἐκ διδασκαλείου παῖς ἔτι ὢν Θεμιστοκλῆς. Εἶτα προσιόντος Πεισιστράτου, ὁ παιδαγωγὸς[2]) ἔφη Θεμιστοκλεῖ, μικρὸν ἐκχωρῆσαι τῆς ὁδοῦ, προσάγοντος τοῦ τυράννου. Ὁ δὲ καὶ πάνυ ἐλευθερίως ἀπεκρίνατο· Αὕτη γάρ, εἶπεν, αὐτῷ οὐκ ἱκανὴ ὁδός; Οὕτως ἄρα εὐγενές τι καὶ μεγαλόφρον ἐνεφαίνετο τῷ Θεμιστοκλεῖ καὶ ἐξ ἐκείνου. — 34. Ἀντισθένης ἐρωτηθείς, τί δή ποτε οὐκ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀνίασιν, ἀλλ' ἀνάπαλιν, εἶπεν, Ὅτι οἱ σοφοὶ μὲν ἴσασιν, ὧν ἐστιν αὐτοῖς χρεία πρὸς τὸν βίον, οἱ δ' οὐκ ἴσασιν, ἐπεὶ μᾶλλον χρημάτων ἢ σοφίας ἐπιμελοῦνται. — 35. Δημοσθένης πρὸς κλέπτην εἰπόντα, Οὐκ ᾔδειν ὅτι σοί ἐστιν, Ὅτι δέ, ἔφη, σὸν οὐκ ἔστιν, ᾔδεις. — 36. Ἀρίστιππος οὐκ ἀκόμψως, ἀλλὰ καὶ πάνυ ἀστείως ἐπέσκωψε τῷ λόγῳ πατέρα νοῦ καὶ φρενῶν κενόν. Ἐρωτήσαντος γάρ τινος αὐτόν, πόσον αἰτοίη μισθὸν ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως, Χιλίας, ἔφη, δραχμάς. Τοῦ δέ, Ἡράκλεις, εἰπόντος, ὡς ὑπέρπολυ τὸ αἴτημα· δύναμαι γὰρ ἀνδράποδον χιλίων[3]) πρίασθαι. Τοιγαροῦν πρίω, εἶπε, καὶ δύο ἕξεις ἀνδράποδα, τὸν υἱὸν καὶ ὃν ἂν πρίῃ. — 37. Ξενοφῶν περὶ τῶν πρὸς θεῶν ὅρκων λέγει τάδε· Ὅστις τούτων σύνοιδεν αὐτῷ παρημεληκώς[4]), τοῦτον ἐγὼ οὔπστ' ἂν εὐδαιμονίσαιμι. Τὸν γὰρ θεῶν πόλεμον οὐκ οἶδα οὔτ' ἀπὸ[5]) ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι οὔτ' εἰς

---

1) Die einzelnen (die dorthin kamen, und die er ſtatt Aller nannte). — 2) Führer, nicht Erzieher; ſolche Führer gehörten zu den Sclaven. — 3) Gen. pretii. — 4) durch den Inf. zu überſetzen. — 5) eigentl. von, daher durch, mit.

ποῖον ἂν σκότος ἀποδραίη οὐθ' ὅπως[1]) ἂν εἰς ἐχυρὸν χωρίον ἀποσταίη. Πάντη γὰρ πάντα τοῖς θεοῖς ὕποχα, καὶ πανταχῆ πάντων ἴσον οἱ θεοὶ κρατοῦσι. Ὁ δὲ τὴν φιλίαν τινὶ συνθέμενος παρὰ τοὺς θεοὺς κατέθετο[2]). — 38. Πυθαγόρας εἶπεν εἰσιέναι εἰς τὰς πόλεις πρῶτον τρυφήν, ἔπειτα κόρον, εἶτα ὕβριν, μετὰ δὲ ταῦτα ὄλεθρον. — 39. Ὁ αὐτὸς ἔλεγε, δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν. — 40. Παῖς Σπαρτιάτης ἁλοὺς[3]) ὑπ' Ἀντιγόνου[4]) τοῦ βασιλέως καὶ πραθεὶς[5]) τὰ μὲν ἄλλα πάντα ὑπήκοος ἦν τῷ πριαμένῳ, ὅσα ᾤετο προσήκειν ἐλευθέρῳ ποιεῖν· ὡς δὲ προσέταξεν αἰσχρόν τι ποιεῖν, οὐκ ἠνέσχετο[6]), εἰπών, Οὐ δουλεύσω· ἐνισταμένου δὲ ἐκείνου, ἀναβὰς ἐπὶ τὸν κέραμον καὶ εἰπών, Εἴσῃ, ὅ τι ἐπρίω, ἔβαλεν ἑαυτὸν κάτω καὶ ἀπέθανεν[7]).

2. Charakterzüge aus dem Leben des Sokrates und Diogenes.

1. Σωκράτης ὁ φιλόσοφος ἀεὶ ἦν ἐν τῷ φανερῷ. Πρωΐ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ᾔει καὶ πληθούσης ἀγορᾶς[1]) ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν, ὅπου πλείστοις μέλλοι[2]) συνέσεσθαι· καὶ ἔλεγε μὲν ὡς τὸ πολύ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν. — 2. Πολλὰ τῶν φίλων αὐτῷ πεμπόν-

1) In einen wie festen Ort er sich zurückziehen könnte, d. h. ob es einen so festen Ort geben könnte, in dem er vor der Strafe der Götter sicher wäre. — 2) der hat sie gleichsam als etwas Unverletzliches bei den Göttern niedergelegt. — 3) ἁλίσκομαι. — 4) einer von den Nachfolgern Alexanders des Großen. — 5) πιπράσκω. — 6) ἀνέχομαι. — 7) ἀποθνήσκω. — 8) „wenn der Markt sich füllte" von der vierten bis sechsten Tagesstunde. — 9) sollte, würde, vergl. p. 80 Anm. 3.

των, ἐπειδὴ μηδὲν δεχόμενος ἐπὶ τούτῳ παρὰ τῆς Ξανθίππης εὐθύνετο, ἔφη· Ἐὰν τὰ διδόμενα πάντα ἑτοίμως λαμβάνωμεν, οὐδ' αἰτοῦντες [1]) τοὺς διδόντας ἔξομεν. — 3. Σωκράτης ὁρῶν τινα πάντα εἰδέναι φάσκοντα καὶ πολυμάθειαν ὑπισχνούμενον (ἐτύγχανε δὲ εἰς Ἀκαδημίαν συγκατιὼν αὐτῷ) ἐπιστὰς χωρίῳ πεφυτευμένῳ, ἤρετο αὐτόν· Ἦ δοκεῖ σοι ὁ γεωργὸς ἀμελῆσαι, μὴ καταφυτεύσας [2]) πᾶσαν τὴν γῆν, ἀλλὰ διαλείμματα μεταξὺ τῶν δένδρων καταλιπών; τοῦ δὲ εἰπόντος, Καὶ μήν, εἰ μὴ τοῦτο ἐποίησεν [3]), οὐδὲν ἂν τοῦτο ἐπεβίω, ἀλλ' ὑπ' ἀλλήλων ἀπώλειτο· Εἶτα, ἔφη, σὺ ἐν τῇ σεαυτοῦ ψυχῇ οὐδὲ μικρὸν τόπον παραλιπών, ἄλλα ἀεὶ ἄλλοις [4]) μαθήματα σωρεύων, οἴει τινὰ καρπὸν ἐξ αὐτῶν δρέψασθαι; — 4. Ὁ αὐτὸς Ξενοφῶντα νέον ὁρῶν εὐφυῆ, ἠρώτησεν, εἰ οἶδεν, ὅπου τῆς ἀγορᾶς [5]) οἱ ἰχθύες εἶεν· τοῦ δ' εἰπόντος [6]) ἑξῆς ἤρετο, τί δέ, τὰ λάχανα [7]); ὡς δ' εἶπε καὶ τοῦτο καὶ τἄλλα ἐπὶ πᾶσιν [8]), ἤρετο, εἰ οἶδεν, ὅπου οἱ καλοὶ κἀγαθοὶ διατρίβουσι· σιωπῶντος δὲ ἐπιπλήξας αὐτὸν κατέλιπεν· ὁ δὲ διατραπεὶς ἀπ' ἐκείνου ἤρξατο φιλοσοφεῖν. — 5. Σωκράτης ἔλεγεν, εἴ τις ἐν θεάτρῳ ὑποκηρύττοι, ἀνίστασθαι [9]) τοὺς σκυτοτόμους, ἐκείνους μόνους ἀναστήσεσθαι, ὁμοίως εἰ τοὺς χαλκοτύπους, τοὺς ὑφάντας, ἢ τοὺς ἄλλους κατὰ γένος· εἰ δὲ τοὺς φρονίμους ἢ δικαίους, πάντας ἀναστήσεσθαι. Καὶ ἔστιν ἐν βίῳ

---

1) Auch nicht, wenn wir darum bitten. — 2) wenn er nicht . . . — 3) wenn er dies nicht thäte, so würde... — Aus οὐδὲν muß man als Gegensatz πάντα ergänzen zu ἀπώλετο. — 4) die einen auf die andern, d. h. immer neue zu den früheren. — 5) Genit. partit. (wo des Marktes), wo auf dem Markte. — 6) εἰπεῖν hier bejahen. — 7) Eigentlich οἶσθα, ὅπου ἐστὶ etc. — 8) bei jeder Frage. — 9) es sollten aufstehen . . . —

βλάπτον μάλισια, τὸ [1]) ἀνοήτους ὄνιας τοὺς πολλοὺς οἴεσθαι φρονίμους εἶναι. — 6. Τοῦ Σωκράτους ἐκ παλαίστρας παραλαβόντος [2]) τὸν Εὐθύδημον, ἡ Ξανθίππη μετ' ὀργῆς ἐπιστᾶσα καὶ λοιδορήσασα τέλος ἀνέτρεψε τὴν τράπεζαν· ὁ δὲ Εὐθύδημος ἐξαναστὰς ἀπῆει περίλυπος γενόμενος. Καὶ ὁ Σωκράτης· Παρὰ σοὶ δέ, εἶπεν, οὐ πρώην ὄρνις τις εἰσπτᾶσα [3]) ταὐτὸ τοῦτο ἐποίησεν; ἡμεῖς δὲ οὐκ ἠγανακτήσαμεν. —

7. Διογένης ὁ Σινωπεύς, ὁ κύων ἐπικαλούμενος, ἡνίκα ἀπέλιπε τὴν πατρίδα [4]), εἷς τῶν οἰκετῶν ἠκολούθει, ὄνομα Μάνης, ὃς οὐ φέρων τὴν μετ' αὐτοῦ διατριβήν, ἀπέδρα. Προτρεπόντων δέ τινων ζητεῖν αὐτόν, ἔφη, οὐκ αἰσχρόν ἐστι, Μάνην μὲν μὴ δεῖσθαι Διογένους, Διογένην δὲ Μάνους; — 8. Ἀριστῶντι Διογένει ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον· Κύον, κύον· ὁ δέ, Ὑμεῖς, εἶπεν, ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε. — 9. Ὁ Διογένης, καθαρὸν λαβὼν ἄρτον, ἐξέβαλε τῆς πήρας [5]) τὸν αὐτόπυρον [6]), εἰπών· Ὦ ξένε, τυράννοις ἐκ ποδῶν μεθίστασο. — 10. Ὁρῶν Μεγαρέας ὁ Διογένης τὰ μακρὰ τείχη [7]) ἱστάντας, Ὦ μοχθηροί, εἶπε, μὴ τοῦ μεγέθους προνοεῖτε τῶν τειχῶν, ἀλλὰ τῶν ἐπ' αὐτῶν στησομένων. — 11. Ἀνθρώπου τινὸς μοχθηροῦ ἐπιγράψαντος ἐπὶ τὴν ἑαυτοῦ οἰκίαν· Μηδὲν εἰσίτω κακόν· Διογένης, Ὁ οὖν κύριος τῆς οἰκίας, ἔφη, ποῦ ἂν εἰσέλθοι [8]); — 12. Μετὰ τὴν ἐπὶ Χαιρωνείᾳ μάχην συλληφθεὶς [9]) ἀπήχθη πρὸς Φίλιππον, καὶ ἐρωτηθείς, τίς εἴη, Κατάσκοπος, ἔφη, τῆς σῆς

---

1) daß die Menge, obwohl sie unverständig, doch glaubt, daß ... — 2) παραλαμβάνω. — 3) εἰσίπταμαι. — 4) Die St. Sinope, eine griechische Kolonie in Klein-Asien am Pontus Euxinus. — 5) der Gen. hängt ab von ἐξέβαλε. — 6) dies schien dem D. zu kostbar für sich, das einfache gröbere Brot, das ihm eigentlich zukommende (τύραννος). — 7) die zur Hafenstadt Nisäa führten. — 8) εἰσέρχομαι. — 9) συλλαμβάνω.

ἀπληστίας· ὅθεν θαυμασθεὶς ἀφείθη. — 13. Αἰτῶν τινα ἔφη· Εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς καὶ ἐμοί· εἰ δὲ μηδενί, ἀπὸ ἐμοῦ ἄρξαι. — 14. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθών, Ἐπίδος καὶ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς [1]), τῆς γαστρός [2])· καὶ γὰρ αὐτὸς κουφισθήσῃ καὶ ἡμᾶς ὠφελήσεις. — 15. Ὁ αὐτὸς ἐρωτηθείς, τί ποιῶν [3]) κύων καλεῖται, ἔφη· Τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων [4]). — 16. Διογένης λόγον τινὰ διεξῄει περὶ σωφροσύνης καὶ ἐγκρατείας, καὶ ὡς ἐπῄνουν αὐτὸν οἱ Ἀθηναῖοι, οὗτος, Κάκιστ' ἀπόλοισθε [5]), εἶπε, τοῖς ἔργοις μοι ἀντιλέγοντες. — 17. Διογένης πλέων εἰς Αἴγιναν, καὶ ὑπὸ πειρατῶν ἁλούς [6]), εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο. Καὶ τοῦ κήρυκος ἐρωτῶντος, τί οἶδε ποιεῖν, ἔφη, Ἀνθρώπων ἄρχειν· καὶ δείξας τινὰ Κορίνθιον, Ξενιάδην, ἔφη, Τούτῳ με πώλει, οὗτος δεσπότου χρῄζει. Ἐπρίατο δὴ αὐτὸν ὁ Ξενιάδης καὶ ἀπαγαγὼν εἰς τὴν Κόρινθον, ἐπέστησε τοῖς ἑαυτοῦ παισίοις καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. Ὁ δὲ οὕτως αὐτὴν ἐν πᾶσι διετίθει, ὥστε ἐκεῖνος περιών, Ἀγαθός, ἔφη, δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθεν [7]).

---

3. Geschichtliche Erzählungen.

1. Selbstverleugnung des Aristides.

Τῶν Ἀθηναίων ὁρμωμένων ἐπὶ τὸν ἐξοστρακισμόν, λέγεταί τινα τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων ἀναδόντα τῷ Ἀριστείδῃ τὸ ὄστρακον, ὡς ἑνὶ τῶν τυχόντων, παρακαλέσαι, ὅπως Ἀριστείδην ἐγγράψῃ. Τοῦ

1) Apposition zu ἡμῖν. — 2) Genit. partit, abhängig von ἐπίδος. — 3) was thuend = weßhalb? — 4) Ergänze zu diesen Participien: κύων καλοῦμαι. — 5) Sprichwörtliche Redensart, etwa: „hol' euch der Henker!" — 6) ἁλίσκομαι. — 7) εἰσέρχομαι.

δὲ θαυμάσαντος καὶ πυθομένου, μή τι κακὸν αὐτὸν Ἀριστείδης πεποίηκεν, Οὐδέν, εἶπεν, οὐδὲ γιγνώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνοχλοῦμαι παντιαχοῦ τὸν Δίκαιον ἀκούων [1]). Ταῦτ' ἀκούσαντα τὸν Ἀριστείδην ἀποκρίνασθαι μὲν οὐδέν, ἐγγράψαι δὲ τοὔνομα τῷ ὀστράκῳ καὶ ἀποδοῦναι [2]). —

2. Gutmüthigkeit und Uebermuth des Alkibiades.

Τῷ Ἀλκιβιάδῃ, εὐφυοῦς ὄντος καὶ λαμπροῦ, πολλοὶ ἦσαν ἐρασταί· ἐνίοις δὲ παντάπασι σοβαρῶς προσεφέρετο, πλὴν ἕνα μέτοικον ἄνθρωπον, ὥς φασιν, οὐ πολλὰ κεκτημένον, ἀποδόμενον δὲ πάντα καὶ τὸ συναχθὲν εἰς ἑκατὸν στατῆρας [3]) τῷ Ἀλκιβιάδῃ προσφέροντα καὶ δεόμενον λαβεῖν [4]), γελάσας καὶ ἡσθεὶς ἐκάλεσεν ἐπὶ δεῖπνον. Ἑστιάσας δὲ καὶ φιλοφρονηθείς, τό τε χρυσίον ἀπέδωκεν αὐτῷ καὶ προσέταξε τῇ ὑστεραίᾳ τοὺς ὠνουμένους τὰ τέλη τὰ δημόσια ταῖς τιμαῖς ὑπερβάλλειν ἀμπωνούμενον. Παραιτουμένου δὲ τοῦ ἀνθρώπου διὰ τὸ πολλῶν ταλάντων [5]) εἶναι τὴν ὠνήν, ἠπείλησε, μαστιγώσειν, εἰ μὴ ταῦτα πράττοι. Ἕωθεν οὖν προελθὼν ὁ μέτοικος εἰς ἀγορὰν ἐπέθηκε τῇ ὠνῇ τάλαντον. Ἐπεὶ δ' οἱ τελῶναι συστρεφόμενοι καὶ ἀγανακτοῦντες ἐκέλευον ὀνομάζειν ἐγγυητήν, ὡς οὐκ ἂν εὑρόντος [6]), θορυβουμένου τοῦ ἀνθρώπου καὶ ἀναχωροῦντος, ἐστὼς ὁ Ἀλκιβιάδης ὄπωθεν, πρὸς τοὺς ἄρχοντας, Ἐμὲ γράψατ', ἔφη, ἐμὸς φίλος ἐστίν, ἐγγυῶμαι. Ταῦτ' ἀκούσαντες οἱ τελῶναι ἐξηπορήθησαν. Εἰωθότες

1) Zu hören. — 2) Diese Construct. des Acc. c. Inf. hängt noch ab von dem obigen λέγεται, das noch öfter mit dem Nom. c. Inf. construirt wird. — 3) Ein Silberstater, wie hier zu verstehen, betrug 4 Drachmen (etwa einen Thaler). — 4) λαμβάνω. — 5) Genit. der Eigenschaft. — 6) da er wohl (nach ihrer Ansicht) keinen finden würde.

γὰρ ἀεὶ ταῖς δευτέραις ὠναῖς χρεωλυτεῖν τὰς πρώτας [1]), οὐχ ἑώρων αὐτοῖς ἀπαλλαγὴν οὖσαν τοῦ πράγματος. Ἐδέοντο δὴ τοῦ ἀνθρώπου ἀργύριον διδόντες· ὁ δ' Ἀλκιβιάδης οὐκ εἴα λαβεῖν ἔλαττον ταλάντου. Διδόντων δὲ τὸ τάλαντον, ἐκέλευσεν ἀποστῆναι λαβόντα. Κἀκεῖνον μὲν οὕτως ὠφέλησεν. —

3. Kluge Entſcheidung des Epaminondas.

Ἐπεὶ Λακεδαιμονίων ἐπιστρατευομένων ἀνεφέροντο χρησμοὶ τοῖς Θηβαίοις, οἱ μὲν ἥτταν, οἱ δὲ νίκην φράζοντες, ἐκέλευεν Ἐπαμινώνδας τοὺς μὲν ἐπὶ δεξιᾷ τοῦ βήματος θεῖναι, τοὺς δὲ ἐπ' ἀριστερᾷ. Τεθέντων δὲ πάντων ἀναστὰς εἶπεν, Ἐὰν μὲν ἐθελήσητε τοῖς ἄρχουσι πείθεσθαι καὶ τοῖς πολεμίοις ὁμόσε χωρεῖν, οὗτοι ὑμῖν εἰσιν οἱ χρησμοί, δείξας τοὺς βελτίονας· ἐὰν δὲ ἀποδειλιάσητε πρὸς τὸν κίνδυνον, ἐκεῖνοι, πρὸς τοὺς χείρονας ἰδών. Οὕτω δὲ μέγα φρόνημα ἐπιδεικνυμένῳ θαῤῥαλέως οἱ Θηβαῖοι ἔσποντο καὶ μαχεσάμενοι ἐν Λεύκτροις τρόπαιον ἔστησαν. —

4. Anſehn des Phokion.

Ἀλέξανδρος ὁ Φιλίππου Φωκίωνι μόνῳ, φασί, τῷ Ἀθηναίων στρατηγῷ γράφων, προσετίθει τὸ χαίρειν· οὕτως ἄρα ἠρήκει τὸν Μακεδόνα ὁ Φωκίων. Ἀλλὰ καὶ τάλαντα αὐτῷ ἀργυρίου ἔπεμψεν ἑκατὸν καὶ πόλεις τέσσαρας ὠνόμασεν, ὧν ἠξίου μίαν, ἣν βούλεται, προελέσθαι αὐτόν, ἵνα ἔχῃ καρποῦσθαι τὰς ἐκεῖθεν προσόδους. Ἦσαν δὲ αἱ πόλεις αἵδε, Κίος, Ἐλαία, Μύλασα, Πάταρα. Ὁ μὲν οὖν Ἀλέξανδρος μεγαλοφρόνως ταῦτα καὶ μεγαλοπρεπῶς. Ἔτι γε μὴν μεγαλοφρονέστερον ὁ

---

1) Da ſie vom früheren Ankaufe der Zölle noch Schulden zu bezahlen hatten und dieſe durch die neue Pachtung decken zu können hofften.

Φωκίων, μήτε τὸ ἀργύριον προσιέμενος, μήτε τὴν πόλιν. Ὡς δὲ μὴ δοκοίη πάντη ὑπερφρονεῖν τοῦ Ἀλεξάνδρου, ἐτίμησεν αὐτὸν κατὰ τόδε· τοὺς ἐν τῇ ἄκρῃ τῇ ἐν Σάρδεσι δεδεμένους ἄνδρας ἠξίωσεν αὐτὸν ἀφεῖναι ἐλευθέρους αὑτῷ, Ἐχεκρατίδην τὸν σοφιστήν, καὶ Ἀθηνόδωρον τὸν Ἴμβριον, καὶ Λημάρατον καὶ Σπάρτωνα· ἀδελφὼ δὲ ἄρα ἦστην οὗτοι Ῥοδίω. —

5. Kyros bewegt die Perser zum Abfall von den Medern.

Κῦρος Πέρσας ἀποστῆναι Μήδων ἔπεισεν ὧδε· δείξας χωρίον αὐτοῖς ἀργὸν καὶ ἀκανθώδες ἐκέλευσεν ἡμερῶσαι. Οἱ δὲ σὺν πολλῷ πόνῳ ἡμέρωσαν· τῆς δὲ ὑστεραίας ἐκέλευσε λουσαμένους παρεῖναι. Ἐπεὶ δὲ ἦκον, προέθηκεν αὐτοῖς εὐωχίαν ἄφθονον· καὶ μετὰ τὴν εὐωχίαν ἤρετο, ποτέρα κρείσσων ἡμέρα. Οἱ δὲ ὡμολόγησαν τῆς χθὲς*) τὴν σήμερον τόσῳ κρείττονα, ὅσῳ κακοδαιμονίας εὐδαιμονίαν. Οὐκοῦν, ὁ Κῦρος ἔφη, τὰ τῆς εὐδαιμονίας ἀγαθὰ ἔξετε, ἢν τῆς Μήδων δουλείας ἀποστῆτε. Οἱ οὖν Πέρσαι μὴ μελλήσαντες ἀπέστησαν, καὶ βασιλέα Κῦρον στησάμενοι αὐτούς τε Μήδους ὑπεστρέψαντο καὶ τῆς ἄλλης Ἀσίας ἦρξαν. —

9. Brüderliche Liebe.

Ξέρξῃ τῷ Δαρείου περὶ τῆς βασιλείας ἀμφισβητῶν, ὁ ἀδελφὸς Ἀριμένης κατέβαινεν ἐκ τῆς Βακτριανῆς· ἔπεμψεν οὖν αὐτῷ δῶρα, φράσαι κελεύσας τοὺς διδόντας, Τούτοις σε τιμᾷ νῦν Ξέρξης ὁ ἀδελφός· ἐὰν δὲ βασιλεὺς ἀναγορευθῇ, πάντων ἔσῃ παρ' αὐτῷ μέγιστος. Ἀποδειχθέντος δὲ τοῦ Ξέρξου βασιλέως, ὁ μὲν Ἀριμένης εὐθὺς προσεκύνησε, καὶ τὸ διάδημα περιέθηκεν,

*) ἡ χθές der gestrige, ἡ σήμερον der heutige Tag.

ὁ δὲ Ξέρξης ἐκείνῳ τὴν δευτέραν μεθ' ἑαυτὸν ἔδωκε τάξιν. —

7. Muthiges Vertrauen ist halber Sieg.

Ἀλεξάνδρῳ, μέλλοντι περὶ τῶν ὅλων ἐν Ἀρβήλοις κινδυνεύειν πρὸς ἑκατὸν μυριάδας ἀντιτεταγμένας, προσῆσαν οἱ φίλοι τῶν στρατιωτῶν κατηγοροῦντες ὡς ἐν ταῖς σκηναῖς διαλαλούντων καὶ συντιθεμένων, ὅπως μηδὲν τῶν λαφύρων εἰς τὸ βασιλικὸν ἀνοίσουσιν [1]), ἀλλ' αὐτοὶ κερδανοῦσιν· ὁ δὲ μειδιάσας, Ἀγαθά, φησίν, ἀγγέλλετε· νικᾶν ἀνδρῶν, οὐ φεύγειν παρεσκευασμένων ἀκούω διαλογισμούς. Καὶ προσιόντες αὐτῷ πολλοὶ τῶν στρατιωτῶν ἔλεγον, Ὦ βασιλεῦ, θάῤῥει, καὶ μὴ φοβοῦ τὸ πλῆθος τῶν πολεμίων, αὐτὴν γὰρ ἡμῶν τὴν ἀλαλὰν οὐκ ὑπομενοῦσιν. Καὶ τῶν δὲ Περσῶν κρατερὰ ἦν ἡ φυγή· μεγάλη δὲ τῶν Μακεδόνων ἡ νίκη. —

8. Großmuth des Demetrius Poliorketes.

Ἀποστάντων τῶν Ἀθηναίων Δημήτριος ὁ Πολιορκητής, ἑλὼν [2]) τὴν πόλιν ἤδη κακῶς ὑπὸ σιτοδείας ἔχουσαν, εὐθὺς ἐκκλησίας αὐτῷ συναχθείσης, ἐπέδωκε δωρεὰν σῖτον αὐτοῖς· δημηγορῶν δὲ περὶ τούτων, ἐβαρβάρισε· τῶν δὲ καθημένων τινός, ὡς ἔδει τὸ ῥῆμα λεχθῆναι, παραφωνήσαντος, Οὐκοῦν, ἔφη, καὶ τῆς ἐπανορθώσεως ταύτης ἄλλους ὑμῖν πεντακισχιλίους ἐπιδίδωμι μεδίμνους. —

9. Die letzten Lebenstage des Solon.

Σόλων ὁ Ἐξηκεστίδου, ὁ τοῖς Ἀθηναίοις τοὺς νόμους θείς, γέρων ἤδη ὢν, ὑπώπτευε Πεισίστρατον τυραννίδι ἐπιθήσεσθαι, ἡνίκα παρῆλθεν [3]) εἰς τὴν ἐκ-

1) ἀναφέρω. — 2) αἱρέω. — 3) παρέρχομαι.

κλησίαν τῶν Ἀθηναίων καὶ ἤτει φρουρὰν ὁ Πεισίστρατος. Ὁρῶν δὲ τοὺς Ἀθηναίους τῶν μὲν αὐτοῦ λόγων ῥᾳθύμως ἀκούοντας, προσέχοντας δὲ τῷ Πεισιστράτῳ, ἔφη, ὅτι τῶν μέν ἐστι σοφώτερος, τῶν δὲ ἀνδρειότερος· Ὁπόσοι μὲν μὴ γιγνώσκουσιν, ὅτι φυλακὴν λαβὼν [1]) περὶ τὸ σῶμα, τύραννος ἔσται, ἀλλὰ τούτων μέν ἐστι σοφώτερος· ὁπόσοι δὲ γιγνώσκοντες ὑποσιωπῶσι, τούτων ἀνδρειότερός ἐστιν. Ὁ δὲ λαβὼν τὴν δύναμιν, τύραννος κατέστη. Καθεζόμενος δὲ Σόλων πρὸ τῆς οἰκίας, τὴν ἀσπίδα καὶ τὸ δόρυ παραθέμενος ἔλεγεν, ὅτι ἐξώπλισται καὶ βοηθεῖ τῇ πατρίδι, ᾗ δύναται, στρατηγὸς μὲν διὰ τὴν ἡλικίαν οὐκ ἔτι ὤν, εὔνους δὲ διὰ τὴν γνώμην. Ὅμως οὖν Πεισίστρατος, εἴτε αἰδοῖ τῇ πρὸς τὸν ἄνδρα καὶ τὴν σοφίαν αὐτοῦ, εἴτε καὶ μνήμῃ τῆς ἐν ἡλικίᾳ φιλίας, οὐδέν [2]) γε ἔδρασε κακὸν Σόλωνα.

Ὁ δ' οὖν Σόλων ὀλίγον ὕστερον, ὑπεργήρως ὤν, τὸν βίον ἐτελεύτησεν, ἐπὶ σοφίᾳ καὶ ἀνδρείᾳ μεγάλην ἀπολιπὼν δόξαν. Καὶ ἀνέστησαν αὐτῷ χαλκῆν εἰκόνα ἐν τῇ ἀγορᾷ, ἀλλὰ καὶ ἔθαψαν αὐτὸν δημοσίᾳ παρὰ τὰς πύλας πρὸς τῷ τείχει ἐν δεξιᾷ εἰσιόντων καὶ περιῳκοδόμητο αὐτῷ ὁ τάφος. —

10. Kyros beim Astyages.

Ἐπειδὴ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιοῦσα πάλιν πρὸς τὸν ἄνδρα [3]), ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης, καταλιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἂν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα χαλεπὸν νομίζειν εἶναι καταλιπεῖν. — Ἔνθα δὴ ὁ Ἀστυάγης λέγει πρὸς τὸν Κῦρον, Ὦ παῖ, ἢν μένῃς παρ' ἐμοί, πρῶτον μὲρ τῆς παρ' ἐμὲ εἰσόδου σε οὐδεὶς

---

1) λαμβάνω. — 2) Ueber den doppelten Accus. s. p. 91. Anm. 3. — 3) zum Kambyses, der nach Xenophons Darstellung König der Perser war. —

κωλύσει, ἀλλ' ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμέ, ἐπὶ σοὶ ἔσται· καὶ χάριν σοι, ἔφη, μᾶλλον[1]) εἴσομαι, ὅσῳ ἂν πλεονάκις εἰσίῃς ὡς ἐμέ. Ἔπειτα δὲ ἵπποις τοῖς ἐμοῖς χρήσῃ, καὶ ἄλλοις, ὁπόσοις ἂν βούλῃ· καὶ ὅταν ἀπίῃς, ἔχων[2]) ἄπει, οὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα τά τε νῦν ἐν τῷ παραδείσῳ θηρία δίδωμί σοι, καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σύ, ἐπειδὰν τάχιστα[3]) ἱππεύειν μάθῃς[4]), διώξῃ καὶ τοξεύων καὶ ἀκοντίζων καταβαλεῖς, ὥσπερ οἱ μεγάλοι ἄνδρες. Καὶ παῖδας δέ σοι ἐγὼ συμπαίκτορας παρέξω· καὶ ἄλλα, ὅσα ἂν βούλῃ, λέγων πρὸς ἐμέ, οὐκ ἀποτυχήσεις.

Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν Κῦρον, πότερα βούλοιτο μένειν ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ εἶπεν, ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρός, διὰ τί, εἰπεῖν λέγεται· Ὅτι οἴκοι μὲν τῶν ἡλίκων καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ τοξεύων καὶ ἀκοντίζων· ἐνταῦθα δὲ εὖ οἶδα, ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν ἡλίκων· καὶ τοῦτο, εὖ ἴσθι, ἔφη, ὦ μῆτερ, ὅτι ἐμὲ πάνυ ἀνιᾷ. Ἢν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν Πέρσαις ὦ, οἶμαί σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ[5]) ῥᾳδίως νικήσειν· ὅταν δὲ εἰς Μήδους ἔλθω[6]) ἐνθάδε, πειράσομαι τῷ πάππῳ, ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεύς, συμμαχεῖν αὐτῷ.

Τὴν δὲ μητέρα εἰπεῖν, Τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοι τῶν διδασκάλων; Καὶ τὸν Κῦρον φάναι, ἀλλ' ὦ μῆτερ, ἀκριβῶς ταύτην γε οἶδα. Πῶς σὺ οἶσθα, εἰπεῖν τὴν Μανδάνην; Ὅτι, φάναι, ὁ διδάσκαλός με, ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην, καὶ ἄλλοις καθίστη δικάζειν. Καὶ τοίνυν,

---

1) μᾶλλον — um so mehr, je öfter. — 2) zu übersetzen durch „mit". — 3) sobald als. — 4) μανθάνω. — 5) Acc. der Beziehung. — 6) ἔρχομαι.

φάναι, ἐπὶ μιᾷ ποτε δίκῃ πληγὰς ἔλαβον, ὡς οὐκ ὀρθῶς δικάσας. Ἦν δὲ ἡ δίκη τοιάδε· Παῖς μέγας μικρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρόν, μέγαν ἔχοντα χιτῶνα, ἐκδύσας αὐτόν, τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε[1]), τὸν δὲ ἐκείνου αὐτὸς ἐνέδυ. Ἐγὼ γοῦν τούτοις δικάζων, ἔγνων, βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόζοντα ἑκάτερον ἔχειν χιτῶνα. Ἐν δὲ τούτῳ με ἔπαισεν ὁ διδάσκαλος, λέγων, ὅτι, ὁπότε μὲν κατασταθείην τοῦ ἁρμόττοντος κριτής, οὕτω δέοι ποιεῖν· ὁπότε δὲ κρῖναι δέοι, ὁποτέρου ὁ χιτὼν εἴη, τοῦτ' ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστί· πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμενον, ἢ πριάμενον κεκτῆσθαι. Ἔπειτα δὲ ἔφη, τὸ μὲν νόμιμον δίκαιον εἶναι· τὸ δὲ ἄνομον βίαιον. Σὺν τῷ νόμῳ οὖν ἐκέλευε δεῖν τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. — Οὕτως ἐγώ σοι, ἔφη, ὦ μῆτερ, τά γε δίκαια παντάπασιν οἶδα ἀκριβῶς· ἢν δέ τι ἄρα προσδέωμαι, ὁ πάππος με οὗτος ἐπιδιδάξει.

Τέλος δὲ ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε καὶ αὐτοῦ ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο*), ὥστε οἰκείως διακεῖσθαι. —

11. Das Lebensende des Kyros.

Μάλα δὴ πρεσβύτης ὢν ὁ Κῦρος ἀφικνεῖται εἰς Πέρσας, τὸ ἕβδομον ἐπὶ τῆς αὐτοῦ ἀρχῆς. Ἔθυσε δὲ τὰ νομιζόμενα ἱερὰ, καὶ τοῦ χοροῦ ἡγήσατο Πέρσαις κατὰ τὰ πάτρια[2]), καὶ τὰ δῶρα πᾶσι διέδωκεν, ὥσπερ εἰώθει[3]). Κοιμηθεὶς δ' ἐν τῷ βασιλείῳ ὄναρ εἶδε[4]) τοιόνδε· ἔδοξεν αὐτῷ προσελθὼν κρείττων τις, ἢ κατὰ ἄνθρωπον[5]), εἰπεῖν, Συσκευάζου, ὦ Κῦρε· ἤδη γὰρ εἰς

---

1) ἀμφιέννυμι. *) συγκεράννυμι. 2) nach heimischer Sitte. — 3) ἔθω. — 4) ὁράω. — 5) von übermenschlicher Größe.

θεοὺς ἄπει. Τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξηγέρθη, καὶ σχεδὸν ἐδόκει εἰδέναι, ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη. Εὐθὺς οὖν λαβὼν ἱερεῖα ἔθυε Διΐ τε πατρῴῳ καὶ Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος· Ζεῦ πατρῷε καὶ Ἥλιε καὶ πάντες θεοί, δέχεσθε τάδε καὶ τελεστήρια [1]) πολλῶν καὶ καλῶν πράξεων καὶ χαριστήρια [1]), ὅτι ἐσημήνατέ μοι καὶ ἐν [2]) ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις, ἃ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν. Πολλὴ δ' ὑμῖν χάρις, ὅτι κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν, καὶ οὐδεπώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα. Αἰτοῦμαι δ' ὑμᾶς, δοῦναι καὶ νῦν παισὶ μὲν καὶ γυναικὶ καὶ φίλοις καὶ πατρίδι εὐδαιμονίαν· ἐμοὶ δέ, οἷόν περ αἰῶνα δεδώκατε, τοιαύτην καὶ τελευτὴν δοῦναι.

Ὁ μὲν δὴ ταῦτα ποιήσας καὶ οἴκαδε ἐλθών, ἔδοξεν ἡδέως ἀναπαύσεσθαι καὶ κατεκλίθη. Ἐπεὶ δὲ ὥρα ἦν, οἱ τεταγμένοι προσιόντες λούσασθαι αὐτὸν ἐκέλευον. Ὁ δ' ἔλεγεν, ὅτι ἡδέως ἀναπαύοιτο. Οἱ δ' αὖ τεταγμένοι, ἐπεὶ ὥρα ἦν, δεῖπνον παρετίθεσαν· τῷ δὲ ἡ ψυχὴ σῖτον μὲν οὐ προσίετο, διψῆν δ' ἐδόκει καὶ ἔπινεν ἡδέως. Ὡς δὲ καὶ τῇ ὑστεραίᾳ συνέβαινεν αὐτῷ ταῦτα καὶ τῇ τρίτῃ ἐκάλεσε τοὺς παῖδας· οἱ δ' ἔτυχον [3]) συνηκολουθηκότες αὐτῷ καὶ ὄντες ἐν Πέρσαις. Ἐκάλεσε δὲ καὶ τοὺς φίλους καὶ τὰς Περσῶν ἀρχάς· παρόντων δὲ πάντων, ἤρχετο τοιοῦδε λόγου·

Παῖδες ἐμοὶ καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν· ὑμᾶς δὲ χρή, ὅταν τελευτήσω, ὥσπερ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. Τὸ δ' ἐμὸν σῶμα, μήτε ἐν χρυσῷ θῆτε, μήτε ἐν ἀργύρῳ μηδενί, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπό-

1) τελ. und χαρ. sind Prädikate zu τάδε. — 2) Vergl. Gr. §. 76, II, 1. — 3) S. p. 125. Anm. 4.

δοτε. Τί γὰρ τούτου μακαριώτερον, τοῦ γῇ μιχθῆναι, ἢ πάντα μὲν τὰ καλά, πάντα δὲ ταγαθὰ φύει τε καὶ τρέφει; Ἐγὼ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀνθρώπους.

Ταῦτα ἄλλα τε καὶ πολλὰ εἰπὼν καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο καὶ οὕτως ἐτελεύτησεν. —

4. Mythische Helden.

1. Λέγουσιν, ὅτι Τάνταλος ὁ Διὸς καλέσας τοὺς θεοὺς εἰς εὐωχίαν παρέθηκε τὸν υἱὸν αὐτοῦ Πέλοπα θύσας, ἵνα φάγοιεν [1]), τὸ φιλόξενον αὐτοῦ ἐνδεικνύμενος· μόνη δὲ Δημήτηρ οὐκ ἔγνω [2]) διὰ τὸ μεμηνέναι αὐτὴν διὰ τὴν ἁρπαγὴν τῆς Κόρης· ὅθεν λαβοῦσα [3]) τὴν ὠμοπλάτην ἔφαγεν [1]). Οἱ δὲ θεοὶ κατοικτείραντες τοῦτον ἀφέψουσιν ἐν λέβητι βαλόντες καὶ ὑγιᾶ καὶ ἀκέραιον ἀποκαθιστᾶσιν. Ἀντὶ δὲ τῆς βρωθείσης [4]) ὠμοπλάτης ἐλεφάντινον ὀστοῦν ἔθεντο, ὃ κατὰ γένος τοῖς Πελοπίδαις ἐτύγχανε γνώρισμα. —

2. Τὸν δὲ Ἐριχθόνιον οἱ μὲν Ἡφαίστου καὶ τῆς Κραναοῦ θυγατρὸς Ἀτθίδος εἶναι λέγουσιν, οἱ δὲ Ἡφαίστου καὶ Ἀθηνᾶς. Τοῦτον μὲν οὖν Ἀθηνᾶ κρύφα τῶν ἄλλων θεῶν ἔτρεφεν, ἀθάνατον θέλουσα ποιῆσαι καὶ καταθεῖσα αὐτὸν εἰς κίστην, Πανδρόσῳ τῇ Κέκροπος παρακατέθετο, ἀπειποῦσα τὴν κίστην ἀνοίγειν. Αἱ δὲ ἀδελφαὶ τῆς Πανδρόσου ἀνοίγουσιν ὑπὸ περιεργίας καὶ θεῶνται τῷ βρέφει παρεσπειραμένον δράκοντα· καί, ὡς μὲν ἔνιοι λέγουσιν, ὑπ' αὐτοῦ διεφθάρησαν τοῦ δράκοντος, ὡς δὲ ἔνιοι, δι' ὀργὴν Ἀθηνᾶς ἐμμανεῖς γενόμεναι κατὰ τῆς ἀκροπόλεως αὑτὰς ἔῤῥιψαν. Ἐν δὲ τῷ τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ' αὐτῆς Ἀθηνᾶς,

---

1) ἐσθίω. — 2) γινώσκω. — 3) λαμβάνω. — 4) βιβρώσκω.

ἐκβαλὼν Ἀμφικτύονα, ἐβασίλευσεν Ἀθηνῶν καὶ τὸ ἐν ἀκροπόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο, καὶ τῶν Παναθηναίων τὴν ἑορτὴν συνεστήσατο. Ὕστερον δὲ ἐν τοῖς ἄστροις τεθεὶς ὁ ἡνίοχος ἐγένετο, ὅτι πρῶτος ἵππους ἔζευξεν. —

3. *Προμηθεύς*, Ἰαπετοῦ καὶ Ἀσίας υἱός, ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ λάθρα Διός, ἐν νάρθηκι κρύψας. Ὡς δὲ ἠσθετο [1]) Ζεύς, ἐπέταξεν Ἡφαίστῳ τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσδῆσαι. Τοῦτο δὲ Σκυθικὸν ὄρος ἐστίν. Ἐν δὲ τούτῳ προσδεθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν διετέλεσε. Καθ' ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος τὸ ἧπαρ αὐτοῦ ἐνέμετο, αὐξανόμενον [2]) διὰ νυκτός. Καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος δίκην ἔτινε ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ἔλυσεν.—

4. Τῷ δὲ Ἡρακλεῖ ὡς χάριν ἀποδώσων πολλά τε ἄλλα ὑπέθετο καὶ ὡς δέξαιτο τὰ παρ' Ἑσπερίδων μῆλα. Αὐτοῦ γὰρ ὑποθέντος Ἡρακλῆς οὐκ αὐτὸς ἐπὶ τὰ μῆλα ἐπορεύετο, ἀλλ' Ἄτλαντος τὸν πόλον [3]) διαδεξάμενος ἐκεῖνον πεισθέντα ἀπέστειλεν. Ἄτλας δέ, δρεψάμενος παρ' Ἑσπερίδων τρία μῆλα, ἦκε πρὸς Ἡρακλέα. Καὶ μὴ βουλομένῳ τὸν πόλον ἔχειν ὁ Ἡρακλῆς δόλῳ ἀντεπέθηκεν αὐτὸν τῷ Ἄτλαντι· κελεύει γάρ, ὥσπερ ὁ Προμηθεὺς ὑπέθετο, τὸν Ἄτλαντα δέξασθαι τὸν οὐρανόν, ἕως οὗ σπεῖραν ἐπὶ τὴν κεφαλὴν ποιήσεται [4]), τοῦτο ἀκούσας Ἄτλας ἐπὶ γῆς καταθεὶς τὰ μῆλα τὸν πόλον διεδέξατο. Καὶ οὕτως ἀνελόμενος [5]) αὐτὰ Ἡρακλῆς ἀπηλλάττετο. —

5. *Ποσειδῶν* καὶ Ἀπόλλων μεταλλαγέντες τὴν

---

1) αἰσθάνομαι. — 2) die während der Nacht wieder wuchs. — 3) Atlas wurde von den Alten als der Träger des Himmelsgewölbes gedacht. — 4) so lange bis er ein Polster gelegt haben würde. — 5) ἀναιρέω.

μορφὴν ἐθήτευσαν τῷ Λαομέδοντι καὶ περιετείχισαν τὴν Ἴλιον. Ἐκείνου δὲ τὸν τῆς λατρείας μισθὸν οὐκ ἀποδοῦναι βουλομένου, ἀγανακτήσας ὁ Ποσειδῶν ἔπεμψε κῆτος δεινότατον, ὅπερ καὶ τὴν χώραν κατέκλυσεν, ἀποπτύον τὴν θάλασσαν. Ἐκ χρησμοῦ δὲ Λαομέδων ἀναγκασθεὶς Ἡσιόνην τὴν θυγατέρα βασιλικῶς διατεθειμένην, ὡς πρὸς εὐωχίαν, τῷ κήτει ἐξέθετο, ταῖς πλησίον τῆς θαλάσσης πέτραις προσαρτήσας. Ταύτην ἰδὼν [1]) ἐν τῷ αἰγιαλῷ δεδεμένην καὶ μαθὼν τὴν αἰτίαν ὁ Ἡρακλῆς ὑπέσχετο [2]) ἀποκτεῖναι τὸ κῆτος, ἢν παρὰ Λαομέδοντος λάβῃ ἀθανάτους ἵππους, αἳ ἐδόθησαν αὐτῷ ἀντίποινον παρὰ τοῦ Διὸς τὸν Γανυμήδην ἁρπάσαντος. Ἀποκτείνας δέ, ἐπεὶ οὐκ ἔλαβεν, ἃ ἐκεῖνος ὑπέσχετο, πορθεῖ τὴν Ἴλιον, καὶ Λαομέδοντα ἀνελών, τὴν πόλιν πίμπρησιν· Ἡσιόνην δὲ γέρας δίδωσι Τελαμῶνι ὡς ἀριστεύσαντι.

6. Ἰάσων καὶ οἱ Ἀργοναῦται. Φρῖξον τὸν Ἀθάμαντος μυθολογοῦσι διὰ τὰς ἀπὸ τῆς μητρυιᾶς [3]) ἐπιβουλὰς ἀναλαβόντα τὴν ἀδελφὴν Ἕλλην φυγεῖν ἐκ τῆς Ἑλλάδος. Περαιουμένων δέ αὐτῶν κατά τινα θεῶν πρόνοιαν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν ἐπὶ κριοῦ χρυσομάλλου, τὴν μὲν παρθένον ἀποπεσεῖν [4]) εἰς τὴν θάλατταν, ἣν ἀπ' ἐκείνης Ἑλλήσποντον ὀνομασθῆναι [5]), τὸν δὲ Φρῖξον εἰς τὸν Πόντον πυρευθέντα καταχθῆναι μὲν πρὸς τὴν Κολχίδα, κατὰ δέ τι λόγιον θύσαντα τὸν κριὸν ἀναθεῖναι τὸ δέρας εἰς τὸ τοῦ Ἄρεος ἱερόν. Μετὰ δὲ ταῦτα βασιλεύοντι τῆς Κολχίδος Αἰήτῃ χρησμὸν ἐκπεσεῖν, ὅτι τότε καταστρέψει τὸν βίον, ὅταν ξένοι καταπλεύσαντες τὸ χρυσόμαλλον δέρας ἀπενέγκωσι [6]). Διὰ δὴ ταύτας τὰς αἰτίας καὶ

---

1) ὁράω. — 2) ὑπισχνέομαι. — 3) der Ino. — 4) ἀποπίπτω. — 5) der Inf. im Relativsatze, weil ἣν für καὶ ταύτην steht; abhängig sind diese Infin. von μυθολογοῦσι. — 6) ἀποφέρω.

διὰ τὴν ἰδίαν ὠμότητα καταδεῖξαι θύειν τοὺς ξένους, ἵνα διαδοθεῖσης τῆς φήμης εἰς ἅπαντα τόπον περὶ τῆς Κόλχων ἀγριότητος μηδεὶς τῶν ξένων ἐπιβῆναι τολμήσῃ τῆς χώρας, περιβαλεῖν δὲ καὶ τῷ τεμένει τεῖχος καὶ φύλακας πολλοὺς ἐπιστῆσαι. —

7. Πελίας, βασιλεύσας τῆς ἐν Θεσσαλίᾳ Ἰωλκοῦ, ὅτι αὐτῷ χρησμὸς ἦν, ὑπό τινος τῶν ἐξ Αἰόλου θανεῖν [1]), πάντας τοὺς Αἰολίδας ἀνεῖλε πλὴν τοῦ Ἰάσονος, ὃν, ἔτι βρέφος ὄντα, οἱ συγγενεῖς ἀπαγαγόντες εἰς τὸ Χείρωνος ἄντρον παρέδοσαν ὡς ἀνατρέφεσθαι καὶ παιδεύεσθαι. Ὁ δὲ Πελίας πάλιν χρησμὸν ἔλαβεν, ἀπὸ μονοπεδίλου φυλάττεσθαι [2]). Τοῦτον γοῦν μαθὼν τὸν χρησμόν, θύσας τῷ Ποσειδῶνι εἶδε τὸν Ἰάσονα μονοπέδιλον· διαβαίνων γὰρ τὸν Ἀναυρὸν ποταμόν, οὗτος τὸ ἕτερον ἀπώλεσεν πέδιλον ἐν τῷ ῥεύματι. Ἰδὼν [3]) γοῦν ὁ Πελίας αὐτὸν μονοπέδιλον ἤρετο· Σὺ τί ἂν ἐποίησας [4]), εἴ που ἦν χρησμός, ὑπό τινος ἀναιρεθῆναί σε· Ὁ δὲ ὑποθεμένης τῆς Ἥρας, ἣν οὐκ ἐτίμα Πελίας, φησίν· Ἐπὶ τὸ ἀγαγεῖν τὸ χρυσόμαλλον δέρας ἔστειλα ἄν [5]) αὐτόν. — Ἐπὶ τοῦτο πεμπόμενος Ἰάσων Ἄργον παρεκάλεσε τὸν Φρίξου· κἀκεῖνος, Ἀθηνᾶς ὑποθεμένης, πεντηκόντορον ναῦν κατεσκεύασε τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ κατασκευάσαντος Ἀργῶ· κατὰ δὲ τὴν πρώραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον· ὡς δὲ ἡ ναῦς κατεσκευάσθη, χρωμένῳ ὁ θεὸς τῷ Ἰάσονι πλεῖν ἐπέτρεψε, συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος. —

8. Τούτοις οὖν ἀναχθεῖσιν ἐπεγένετο μέγας χειμών, ὥστε καὶ τοὺς ἀρίστους ἀπεγνωκέναι τὴν σωτηρίαν· τότε δέ φασιν Ὀρφέα, τῆς τελετῆς μόνον τῶν συμ-

1) θνήσκω. Der Inf. ſteht, weil in χρησμός der Begriff des Sagens liegt. — 2) wegen des Inf. ſ. Anm. 1. — 3) ὁράω. — 4) was würdeſt du thun, wenn ..... wäre. — 5) ich würde ... —

πλεόντων μετεσχηκότα [1]), ποιήσασθαι τοῖς Σαμοθρᾳξὶ τὰς ὑπὲρ τῆς σωτηρίας εὐχάς· εὐθὺς δὲ τοῦ πνεύματος ἐνδόντος καὶ δυοῖν ἀστέρων ἐπὶ τὰς τῶν Διοσκούρων κεφαλὰς ἐπιπεσόντων [2]), ἅπαντες μὲν ἐξεπλάγησαν τὸ παράδοξον, ὑπέλαβον δὲ θεῶν προνοίᾳ τῶν κινδύνων αὐτοὶ ἀπηλλάχθαι. Διὸ καὶ ἀεὶ οἱ χειμαζόμενοι τῶν πλεόντων εὐχὰς μὲν τίθενται τοῖς Σαμοθρᾳξὶ, τὰς δὲ τῶν ἀστέρων παρουσίας ἀναπέμπουσιν εἰς τὴν τῶν Διοσκούρων ἐπιφάνειαν. —

9. Ἐντεῦθεν ἀναχθέντες καταντῶσιν εἰς τὴν Θρᾴκης Σαλμυδησσόν· ἔνθα ᾤκει Φινεὺς μάντις, τὰς ὄψεις πεπηρωμένος. Πηρωθῆναι δέ φασιν αὐτὸν οἱ μὲν ὑπὸ θεῶν, ὅτι προὔλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα, οἱ δὲ ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξου παισὶ τὸν ἐκ Κόλχων εἰς τὴν Ἑλλάδα πλοῦν ἐμήνυσεν· ἔπεμψαν δὲ αὐτῷ καὶ τὰς Ἅρπυίας οἱ θεοί. Πτερωταὶ δὲ ἦσαν αὗται καί, ἐπειδὴ τῷ Φινεῖ παρατίθοιτο [3]) τράπεζα, ἐξ οὐρανοῦ καταπετόμεναι τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὀσμῆς ἀνάπλεα καιέλειπον, ὥστε μὴ δύνασθαι αὐτὸν προσενέγκασθαι [4]). Βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μαθεῖν, ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τῶν Ἁρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν. Οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων· Ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτᾶσαι [5]) τὴν τροφὴν ἥρπαζον. Θεασάμενοι δὲ οἱ Βορέου παῖδες, Ζήτης καὶ Κάλαϊς, ὄντες πτερωτοί, σπασάμενοι τὰ ξίφη, δι' ἀέρος ἐδίωκον αὐτάς. — Ἦν δὲ ταῖς Ἁρπυίαις χρεὼν τεθνάναι [6]) ὑπὸ τῶν Βορέου παίδων, τοῖς δὲ Βορέου παισί, τότε τελευτήσειν, ὅτε ἂν διώκοντες μὴ καταλάβωσι. Διωκομένων δὲ τῶν Ἁρπυιῶν ἡ μὲν κατὰ Πελοπόννη-

---

1) μετέχω. — 2) ἐπιπίπτω. — 3) der Optativ nach Zeitpartikeln zeigt die Wiederholung an. — 4) προσφέρω. — 5) καθίπταμαι. — 6) θνήσκω. —

σον εἰς ποταμὸν ἐμπίπτει, ἡ δὲ ἑτέρα μέχρι τῶν νήσων, αἳ νῦν ἀπ' ἐκείνης Στροφάδες καλοῦνται· ἐστράφη γάρ, ὡς ἦλθεν ἐπὶ ταύτας, καὶ γενομένη κατὰ τὴν ἠϊόνα ὑπὸ καμάτου πίπτει σὺν τῷ διώκοντι. Ἀπολλώνιος[1]) δὲ ἐν τοῖς Ἀργοναύταις μέχρι Στροφάδων νήσων φησὶν αὐτὰς διωχθῆναι καὶ μηδὲν παθεῖν[2]), δούσας ὅρκον, τὸν Φινέα μηκέτι ἀδικῆσαι. —

10. Ἀπαλλαγεὶς δὲ τῶν Ἁρπυιῶν Φινεὺς ἐμήνυσε τὸν πλοῦν τοῖς Ἀργοναύταις καὶ περὶ τῶν Συμπληγάδων ὑπέθετο πετρῶν τῶν κατὰ τὴν τοῦ Πόντου εἴσοδον. Ἦσαν δὲ ὑπερμεγέθεις αὗται, συγκρουόμεναι ἀλλήλαις, ὑπὸ τῆς τῶν πνευμάτων βίας, τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον. Ἐφέρετο δὲ πολλὴ μὲν ἀπ' αὐτῶν ὁμίχλη, πολὺς δὲ πάταγος· ἦν δὲ ἀδύνατον καὶ τοῖς πετεινοῖς δι' αὐτῶν ἐλθεῖν[3]). Εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πετρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν καταφρονοῦντας· ἐὰν δὲ ἀπολομένην[5]), μὴ πλεῖν βιάζεσθαι. Ταῦτα ἀνήγοντο ἀκούσαντες καί, ὡς πλησίον ἦσαν τῶν πετρῶν, ἀφιᾶσιν ἐκ τῆς πρώρας πελειάδα· τῆς δὲ πετομένης, τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν ἀπεθέρισεν. Ἀναχωρούσας οὖν ἐπιτηρήσαντες τὰς πέτρας, μετ' εὐρεσίας ἐντόνου, συλλαβομένης Ἥρας, διῆλθον, τὰ ἄκρα[6]) τῶν ἀφλάστων τῆς νεὼς περικοπείσης. Αἱ μὲν οὖν Συμπληγάδες ἔκτοτε ἕστησαν. Χρεὼν γὰρ ἦν αὐταῖς, νεὼς περαιωθείσης, στῆναι παντελῶς. —

11. Οἱ δὲ Ἀργοναῦται παραπλεύσαντες Θερμώδοντα καὶ Καύκασον ἐπὶ Φᾶσιν ποταμὸν ἦλθον[3])· οὗτος τῆς Κολχικῆς ἐστι γῆς. Καθορμισθείσης δὲ τῆς

---

1) Ap. aus Rhodos hat in einem Heldengedicht den Argonautenzug beschrieben. — 2) πάσχω. — 3) ἔρχομαι. — 4) ὁράω. Bei den Verb. sentiendi steht bei der sinnlichen Wahrnehmung das Part. statt des Infin. — 5) ἀπόλλυμι. — 6) Accus. der näheren Bestimmung. —

νεώς, ἦκε πρὸς Αἰήτην Ἰάσων καὶ τὰ ἐπιταγέντα ὑπὸ Πελίου λέγων, παρεκάλει δοῦναι τὸ δέρας αὐτῷ· ὁ δὲ δώσειν ὑπέσχετο [1]), ἐὰν τοὺς χαλκόποδας ταύρους μόνος καταζεύξῃ· ἦσαν δὲ ἄγριοι παρ' αὐτῷ οὗτοι ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἱ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στομάτων ἐφύσων. Τούτους αὐτῷ ζεύξαντι [2]) ἐπετάσσετο σπείρειν δράκοντος ὀδόντας· εἶχε γὰρ λαβὼν παρ' Ἀθηνᾶς τοὺς ἡμίσεις ὧν Κάδμος ἔσπειρεν ἐν Θήβαις. Ἀποροῦντος δὲ τοῦ Ἰάσονος, πῶς ἂν δύναιτο τοὺς ταύρους καταζεῦξαι, Μήδεια αὐτοῦ ἔρωτα ἴσχει· ἦν δὲ αὕτη θυγάτηρ Αἰήτου καὶ Ἰδυίας τῆς Ὠκεανοῦ, φαρμακίς. Λεδοικυῖα δέ, μὴ πρὸς τῶν ταύρων διαφθαρῇ, κρύφα τοῦ πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν καταζευξιν τῶν ταύρων ἐπηγγείλατο, καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὀμόσῃ [3]), αὐτὴν ἕξειν γυναῖκα, καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται. Ὀμόσαντος Ἰάσονος, φάρμακον δίδωσιν, ᾧ καταζευγνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα, ἔφη, πρὸς [4]) μίαν ἡμέραν μήτε ὑπὸ πυρὸς ἀδικηθήσεσθαι, μήτε ὑπὸ σιδήρου. Ἐδήλωσε δὲ αὐτῷ, σπειρομένων τῶν ὀδόντων, ἐκ γῆς ἄνδρας μέλλειν [5]) ἀναδύεσθαι ἐπ' αὐτὸν καθωπλισμένους, οὓς ἐπειδὰν ἀθρόους θεάσηται, ἐκέλευσε βάλλειν εἰς μέσον λίθους ἄποθεν· ὅταν δὲ ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε κτείνειν αὐτούς. — Ἰάσων δὲ τοῦτο ἀκούσας καὶ χρισάμενος τῷ φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος, ἐμάστευσε τοὺς ταύρους, καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξε. Σπείροντος δὲ αὐτοῦ τοὺς ὀδόντας, ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὁ δέ, ὅπου πλείονας ἑώρα, βάλλων ἀφανῶς

---

1) ὑπισχνέομαι. — 2) Wenn er dieſe angeſpannt hätte... 3) ὄμνυμι. — 4) für. — 5) es würden. —

λίθους πρὸς αὐτούς, μαχομένους πρὸς ἀλλήλους προσιὼν ἀνῄρει. Κατεζευγμένων δὲ τῶν ταύρων, οὐκ ἐδίδου τὸ δέρας Αἰήτης· ἐβούλετο δὲ τήν τε Ἀργῶ καταφλέξαι καὶ κτεῖναι τοὺς ἐμπλέοντας. Φθάσασα [1]) δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγε, καὶ τὸν φυλάσσοντα δράκοντα κατακοιμίσασα τοῖς φαρμάκοις, μετὰ Ἰάσονος ἔχουσα τὸ δέρας ἐπὶ τὴν Ἀργῶ παρεγένετο. Συνείπετο δὲ αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρτος. Οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν.

12. Αἰήτης δέ, ἐπιγνοὺς [2]) τὰ τῇ Μηδείᾳ τετολμημένα, ὥρμησε τὴν ναῦν διώκειν· ἰδοῦσα δὲ αὐτὸν πλησίον ὄντα Μήδεια τὸν [3]) ἀδελφὸν φονεύει καὶ μελίσασα κατὰ βυθοῦ ῥίπτει. Συναθροίζων δὲ Αἰήτης τὰ τοῦ παιδὸς μέλη τῆς διώξεως ὑστέρησεν. —

13. Πελίας δέ, ἀγνοουμένης ἔτι κατὰ τὴν Θετταλίαν τῆς τῶν Ἀργοναυτῶν ἀνακομιδῆς, πᾶσαν τὴν Ἰάσονος συγγένειαν ἄρδην ἀνελών [4]), ταχὺ τῶν ἀσεβημάτων τὴν ἀξίαν δίκην δοῦναι ἔμελλεν [5]). Ὁ γὰρ Ἰάσων κατελθὼν τὸ μὲν δέρας ἔδωκε· τῶν δὲ ἀδικημάτων παρὰ τοῦ Πελίου τιμωρίαν λαμβάνειν, καιρὸν ἐξεδέχετο. Καὶ τότε μὲν ἐς Ἰσθμὸν μετὰ τῶν ἀρίστων πλεύσας, ἀνέθηκε τὴν ναῦν Ποσειδῶνι· αὖθις δὲ Μήδειαν παρακαλεῖ ζητεῖν, ὅπως Πελίας αὐτῷ δίκας δῷ. — Ἡ δὲ εἰς τὰ βασίλεια τοῦ Πελίου παρελθοῦσα πείθει τὰς θυγατέρας αὐτοῦ, τὸ σῶμα τοῦ πατρὸς καθεψῆσαι, διὰ φαρμάκων αὐτὸν ἐπαγγελλομένη ποιήσειν νέον. Συγκαθεμένων δ' αὐτῶν, ἡ Μήδεια κριὸν μελίσασα καὶ καθεψήσασα ἐξεῖλεν [6]) ἐκ τοῦ λέβητος ἀρνὸς εἴδωλον. Ἐνταῦθα αἱ παρθένοι καταπλαγεῖσαι καὶ πιστεύσασαι ὑπούργησαν τοῖς προστάγμασιν. Τούτῳ τῷ τρόπῳ ὁ μὲν Πελίας ἀπέθανεν, Ἀκάστῳ δὲ, τῷ Πε-

---

1) zuvorkommend d. i. früher. — 2) ἐπιγιγνώσκω. — 3) ihren. — 4) ἀναιρέω. — 5) sollte. — 6) ἐξαιρέω. —

λίου ἡ βασιλεία παρεδόθη. Ὁ δὲ μετὰ τῶν τὴν Ἰωλκὸν οἰκούντων τὸν πατέρα θάπτει, τὸν δὲ Ἰάσονα μετὰ Μηδείας τῆς Ἰωλκοῦ ἐκβάλλει. —

14. Περσεύς, ὁ τοῦ Διὸς καὶ Δανάης, ἐκπεμφθεὶς ὑπὸ Πολυδέκτου, τοῦ τῆς Σερίφου βασιλεύοντος, τῆς Γοργόνος κομίζειν τὴν κεφαλήν, παραγίγνεται, Ἑρμοῦ καὶ Ἀθηνᾶς ὑποθεμένων, ἐπὶ τὰς Φόρκυος θυγατέρας καὶ παραλαμβάνειν παρ' αὐτῶν πτηνὰ πέδιλα καὶ τὴν[1]) κίβισιν καὶ τὴν[1]) κυνῆν. Τὴν μὲν κίβισιν περιεβάλετο, τὰ δὲ πέδιλα τοῖς σφυροῖς προσήρμοσε, τὴν δὲ κυνῆν τῇ κεφαλῇ ἐπέθετο· ταύτην δὲ ἔχων αὐτὸς μὲν οὓς ἤθελεν ἔβλεπεν, ὑπὸ ἄλλων δὲ οὐχ ἑωρᾶτο. Λαβὼν δὲ καὶ παρὰ Ἑρμοῦ ἀδαμαντίνην ἅρπην, πετόμενος εἰς τὸν Ὠκεανὸν ἦκε καὶ κατέλαβε τὰς Γοργόνας κοιμωμένας. Ἦσαν δὲ αὗται Σθενώ, Εὐρυάλη, Μέδουσα· μόνη δὲ ἦν θνητὴ Μέδουσα· διὰ τοῦτο ἐπὶ τὴν ταύτης κεφαλὴν Περσεὺς ἐπέμφθη· τοὺς δὲ ἰδόντας[2]) λίθους ἐποίει. Ἐπιστὰς οὖν αὐταῖς ὁ Περσεὺς κοιμωμέναις, κατευθυνούσης τὴν χεῖρα Ἀθηνᾶς, ἀπεστραμμένος καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν, ἐκαρατόμησεν αὐτήν. Ἀποτμηθείσης δὲ τῆς κεφαλῆς, ἐκ τῆς Γοργόνος ἐξέθορε[3]) Πήγασος, πτηνὸς ἵππος. Ὁ μὲν οὖν Περσεὺς ἐνθέμενος εἰς τὴν κίβισιν τὴν κεφαλὴν τῆς Μεδούσης ὀπίσω πάλιν ἐχώρει· αἱ δὲ Γοργόνες ἐκ τῆς κοίτης ἀναστᾶσαι τὸν Περσέα ἐδίωκον καὶ συνιδεῖν[4]) αὐτὸν οὐκ ἠδύναντο διὰ τὴν κυνῆν. —

15. Παραγενόμενος δὲ εἰς Αἰθιοπίαν, ἧς ἐβασίλευε Κηφεύς, εὗρε[5]) τὴν τούτου θυγατέρα Ἀνδρομέδαν

---

1) Durch die Artikel werden die Tasche und der Helm (der unsichtbar machende des Pluto) als etwas allgemein Bekanntes bezeichnet. — 2) δράω. Ergänze αὐτήν (den Kopf). — 3) ἐκθρώσκω. — 4) συνοράω. — 5) εὑρίσκω.

παρατεθειμένην βορᾶν θαλασσίῳ κήτει. Κασσιέπεια γάρ, ἡ Κηφέως γυνή, Νηρηΐσιν ἤρισε περὶ κάλλους καὶ πασῶν εἶναι κρείσσων ηὔχησεν. Ὅθεν αἱ Νηρηΐδες ἐμήνισαν, καὶ Ποσειδῶν αὐταῖς συνοργισθεὶς πλημμυράν τε ἐπὶ τὴν χώραν ἔπεμψε καὶ κῆτος. Θεοῦ δὲ χρήσαντος τὴν ἀπαλλαγὴν τῆς συμφορᾶς, ἐὰν ἡ Κασσιεπείας θυγάτηρ Ἀνδρομέδα προτεθῇ τῷ κήτει βορά, τοῦτο ἀναγκασθεὶς ὁ Κηφεὺς ὑπὸ τῶν Αἰθιόπων ἔπραξε καὶ προξέδησε τὴν θυγατέρα πέτρᾳ. Ταύτην θεασάμενος ὁ Περσεὺς καὶ ἐρασθεὶς ἀναιρήσειν ὑπέσχετο[1]) Κηφεῖ τὸ κῆτος, εἰ μέλλει σωθεῖσαν ἐκείνην αὐτῷ δώσειν[2]) γυναῖκα. Ἐπὶ τούτοις γενομένων ὅρκων, ὑποστὰς τὸ κῆτος ἔκτεινε καὶ τὴν Ἀνδρομέδαν ἔλυσεν. Ἐπιβουλεύοντος δὲ αὐτῷ Φινέως, ὃς ἦν ἀδελφὸς τοῦ Κηφέως ἐγγυώμενος πρῶτος τὴν Ἀνδρομέδαν, μαθὼν τὴν ἐπιβουλήν, τὴν Γοργόνα δείξας σὺν τοῖς φίλοις αὐτὸν ἐλίθωσεν αὐτίκα. —

16. Παραγενόμενος δὲ εἰς Σέριφον τὸν Πολυδέκτην διὰ τὴν εἰς μητέρα βίαν ἐλίθωσε καὶ κατέστησε τῆς Σερίφου Δίκτυν βασιλέα, ἀπέδωκε τὰ μὲν πέδιλα καὶ τὴν κίβισιν καὶ τὴν κυνῆν Ἑρμῇ· τὴν δὲ κεφαλὴν τῆς Γοργόνος Ἀθηνᾷ. Ἑρμῆς μὲν οὖν τὰ προειρημένα[3]) πάλιν ἀπέδωκε ταῖς Νύμφαις· Ἀθηνᾶ δὲ ἐν μέσῃ τῇ ἀσπίδι τῆς Γοργόνος τὴν κεφαλὴν ἀνέθηκεν.

17. Μίνως, ὁ τῆς Κρήτης βασιλεύς, δίκας αἰτήσας τοῦ φόνου[4]) Ἀνδρόγεω τοῦ υἱέος, πρὸς μὲν Ἀθηναίους συνεστήσατο πόλεμον, ἀρὰς δὲ ἐποιήσατο τῷ Διΐ, γενέσθαι κατὰ τὴν πόλιν τῶν Ἀθηναίων αὐχμὸν καὶ λιμόν. Τούτων δὲ περὶ τὴν Ἀττικὴν καὶ τὴν Ἑλλάδα γενομένων, συνελθόντες οἱ τῶν πόλεων ἡγεμόνες ἐπηρώτησαν τὸν θεόν, πῶς ἂν δύναιντο τῶν κακῶν ἀπαλ-

1) ὑπισχνέομαι. — 2) Vergl. p. 80, Anm. 3. — 3) προλέγω. — 4) Androgeos war auf Anstiften des Aegeus in Attika ermordet.

λαγῆναι. Ὁ δ' ἔχρησεν, ἐὰν τοῦ Ἀνδρόγεω φόνου τῷ Μίνῳ δίκας δῶσιν, ἃς ἂν ἐκεῖνος δικάσῃ· ὑπακουσάντων δὲ τῷ θεῷ τῶν Ἀθηναίων, προσέταξεν αὐτοῖς ὁ Μίνως διδόναι κόρους ἑπτὰ καὶ τὰς ἴσας κόρας δι' ἐτῶν ἐννέα βορὰν τῷ Μινωταύρῳ, ὅσον ἂν χρόνον ζῇ τὸ τέρας. Λόντων δ' αὐτῶν, ἀπηλλάγησαν τῶν κακῶν οἱ κατὰ τὴν Ἀττικήν, καὶ ὁ Μίνως πολεμῶν [1]) ἐπαύσατο τὰς Ἀθήνας. —

18. Θησεὺς δέ, τοῦ Αἰγέως υἱὸς καὶ τῆς Αἴθρας, ὡς ἐγένετο τέλειος, προσῆει εἰς Ἀθήνας, τοῦ Μίνωος πάλιν τοὺς δὶς ἑπτὰ κόρους λαμβάνοντος. Ἠγανάκτησε δὲ οὕτως, ὥςθ' ἡγήσαιο, κρεῖττον εἶναι τεθνάναι [2]) ἢ ζῆν αἰσχρῶς, καὶ σύμπλους ἐγένετο. Καταπλευσάντων δὲ αὐτῶν εἰς Κρήτην Ἀριάδνη μὲν ἡ θυγάτηρ τοῦ Μίνωος ἠράσθη τοῦ Θησέως, εὐπρεπείᾳ διαφέροντος· αὐτῆς δὲ ὑποθεμένης καὶ συλλαβομένης Θησεὺς τόν τε Μινώταυρον ἀπέκτεινε καὶ τὴν ἔξοδον τὴν τοῦ Λαβυρίνθου, εἰς ὃν ὁ εἰσελθὼν [3]) ἀδύνατος ἦν ἐξιέναι, παρ' αὐτῆς μαθὼν διεσώθη. Οὕτω τοὺς μὲν παῖδας τοῖς γονεῦσιν ἀπέδωκε, τὴν δὲ πατρίδα δεινοῦ προστάγματος ἠλευθέρωσεν.

II. Erzählungen,

besonders zur Einübung der anomalen Verba.

1. Vermischte Anekdoten.

1. Διονύσιος ὁ νεώτερος, ἐκπεσὼν τῆς ἀρχῆς, πρὸς μὲν τὸν εἰπόντα, Τί σε Πλάτων καὶ φιλοσοφία ὠφέλησε; Τὸ τηλικαύτην, ἔφη, τύχης μεταβολὴν ῥᾳδίως ὑπομένειν. — 2. Ἐρωτηθεὶς δέ, πῶς ὁ μὲν πατὴρ αὐτοῦ, πένης

---

1) S. p. 21. Anm. 4. — 2) θνήσκω. — 3) Wer dasselbe betreten hatte, dem war es unmöglich . . —.

ὢν καὶ ἰδιώτης, ἐκτήσατο τὴν Συρακουσίων ἀρχήν, αὐτὸς δὲ ἔχων, καὶ τυράννου παῖς ὤν, πῶς ἀπέβαλεν· Ὁ μὲν πατήρ, ἔφη, μισουμένης δημοκρατίας ἐπέστη τοῖς πράγμασιν, ἐγὼ δὲ φθονουμένης τυραννίδος. — 3. Ἀγαθοκλέους, υἱοῦ κεραμέως, πόλιν πολιορκοῦντος, τῶν ἀπὸ τοῦ τείχους τινὲς ἐλοιδοροῦντο, λέγοντες ὅτι, Ὦ κεραμεῦ, τὸν μισθὸν πῶς ἀποδώσεις τοῖς στρατιώταις; ὁ δὲ πρᾴως καὶ μειδιῶν εἶπεν, Ἐὰν ταύτην ἕλω. Λαβὼν δὲ κατὰ κράτος, ἐπίπρασκε τοὺς αἰχμαλώτους, λέγων, Ἐάν με πάλιν λοιδορῆτε, πρὸς τοὺς κυρίους ὑμῶν ἔσται μοι ὁ λόγος. — 4. Σμικύθου Νικάνορα διαβάλλοντος ὡς ἀεὶ κακῶς λέγοντα τὸν Φίλιππον, καὶ τῶν ἑταίρων οἰομένων δεῖν μεταπέμπεσθαι καὶ κολάζειν, Ἀλλὰ μήν, ἔφη, Νικάνωρ οὐ φαυλότατός ἐστι Μακεδόνων, ἐπισκεπτέον οὖν, μή τι [1]) γίγνεται παρ' ἡμᾶς. Ὡς οὖν ἔγνω τὸν Νικάνορα, θλιβόμενον ἰσχυρῶς ὑπὸ πενίας, ἠμελημένον δὲ ὑπ' αὐτοῦ, προσέταξε δωρεάν τινα αὐτῷ δοθῆναι. Πάλιν οὖν τοῦ Σμικύθου λέγοντος, ὅτι θαυμαστὰ περὶ αὐτοῦ πρὸς ἅπαντας ἐγκώμια λέγων ὁ Νικάνωρ διατελεῖ [2]), Ὁρᾶτε οὖν, εἶπεν, ὅτι ἐφ' ἡμῖν αὐτοῖς ἐστι καὶ τὸ καλῶς καὶ τὸ κακῶς ἀκοίειν. — 5. Διονύσιος ὁ πρεσβύτερος ἀκούσας τινὰ τῶν πολιτῶν χρυσίον ἔχειν οἴκοι κατορωρυγμένον, ἐκέλευσεν ἀνενεγκεῖν πρὸς αὐτόν· ἐπεὶ δὲ παρακλέψας ὀλίγον ὁ ἄνθρωπος, καὶ μεταστὰς εἰς ἑτέραν πόλιν, ἐπρίατο χωρίον, μεταπεμψάμενος αὐτὸν ἐκέλευσε πᾶν ἀπολαβεῖν, ἠργμένον χρῆσθαι τῷ πλούτῳ καὶ μηκέτι ποιοῦντα τὸ χρήσιμον ἄχρηστον. — 6. Ληφθέντων πολλῶν αἰχμαλώτων, ὁ Φίλιππος ἐπίπρασκεν αὐτοὺς ἀνεσταλμένῳ τῷ χιτῶνι καθήμενος οὐκ εὐπρεπῶς· εἷς οὖν τῶν πωλουμένων ἀνεβόησε, Φεῖσαί μου, Φίλιππε, πατρικὸς γάρ εἰμί σου φίλος· ἐρωτήσαντος δὲ Φιλίππου, Πόθεν, ὦ

1) ob nicht etwas. — 2) S. p. 127. Anm. 4.

ἄνθρωπε, γενόμενος καὶ πῶς; Ἐγγύς, ἔφη, φράσαι σοι βούλομαι προελθάν· ὡς οὖν προσήχθη, Μικρόν, ἔφη, καιωτέρω τὴν χλαμύδα ποίησον, ἀσχημονεῖς γὰρ οὕτω καθήμενος· καὶ ὁ Φίλιππος, Ἄφετε αὐτόν, εἶπεν, ἀληθῶς γὰρ εὔνους ὢν καὶ φίλος ἐλάνθανεν. — 7. Ἱππάρχου τοῦ Εὐβοέως ἀποθανόντος, δῆλος ἦν ὁ αὐτὸς βαρέως φέρων· εἰπόντος δέ τινος, Ἀλλὰ μὲν ὡραῖος ὢν ἐκεῖνος ἀποτέθνηκεν, Ἑαυτῷ γε, εἶπεν, ἐμοὶ δὲ ταχέως· ἔφθη γὰρ τελευτήσας, πρὶν ἢ παρ' ἐμοῦ χάριν ἀξίαν τῆς φιλίας ἀπολαβεῖν. — 8. Ἀγανακτούντων τῶν φίλων, ὅτι συρίττουσιν αὐτὸν ἐν Ὀλυμπίοις εὖ πεπονθότες οἱ Πελοποννήσιοι, Τί οὖν, εἶπεν, ἐὰν κακῶς πάθωσι; — 8. Ἀλέξανδρος ἐπιστολὴν παρὰ τῆς μητρὸς [1]) ἀναγιγνώσκων, αἰτίας ἀποῤῥήτους κατ' Ἀντιπάτρου καὶ διαβολὰς ἔχουσαν, ἅμα τοῦ Ἡφαιστίωνος, ὥςπερ εἰώθει, συναναγιγνώσκοντος, οὐκ ἐκώλυσεν· ὡς δὲ ἀνέγνω, τὸν δακτύλιον ἀφελόμενος τὸν ἑαυτοῦ τῷ στόματι τῷ ἐκείνου τὴν σφραγῖδα ἐπέθηκεν. — 9. Τοξεύματι πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ συνέδραμον τῶν πολλάκις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν, διαχυθεὶς τῷ προσώπῳ, Τουτὶ μὲν αἷμα [2]), εἶπεν, ὡς ὁρᾶτε, καὶ οὐκ

Ἰχὼρ, οἷός τε ῥέει μακάρεσσι θεοῖσιν.

10. Ἀντίγονος [3]) πρὸς τὸν υἱὸν Φίλιππον πυθόμενον [4]) πλειόνων παρόντων, Πότε μέλλομεν ἀναζευγνύναι; Τί δέδοικας [5]), εἰπέ μοι, μὴ μόνος τῆς σάλπιγγος οὐκ ἀκούσῃ; — 11. Νοσήσας δὲ μακρὰν νόσον, ὡς ἀνέῤῥωσεν, Οὐδέν, ἔφη, χεῖρον [6]) ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος, μὴ μέγα φρονεῖν, ὡς ὄντας θνητούς. — 12.

---

1) Von der Olympias aus Macedonien, über welches Antipater von Alex. als Statthalter zurückgelassen war. — 2) τουτί = τουτο-ί ist Subject, αἷμα ist Prädicat, und daher ohne Artikel. — 3) einer von den Nachfolgern des Alexander. — 4) πυνθάνομαι. — 5) δεῖσαι. — 6) keineswegs so übel.

Πύῤῥος ἐπεὶ συμβαλὼν Ῥωμαίοις δὶς ἐνίκησε, πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἀπολέσας, Ἂν ἔτι μίαν, ἔφη, μάχην[1]) *Ῥωμαίους νικήσωμεν, ἀπολώλαμεν.* — 14. *Ἐπεὶ δὲ Σικελίας ἀποτυχὼν ἐξέπλει, μεταστραφεὶς ὀπίσω πρὸς τοὺς φίλους, Οἵαν, ἔφη, Ῥωμαίοις καὶ Καρχηδονίοις ἀπολείπομεν παλαίστραν!* — 14. *Ἀλκιβιάδης ἔτι παῖς ὢν ἐλήφθη λαβὴν*[2]) *ἐν παλαίστρᾳ, καὶ μὴ δυνάμενος διαφυγεῖν, ἔδακε τὴν χεῖρα τοῦ καταπαλαίοντος· εἰπόντος δ' ἐκείνου, Ἀάκνεις, ὡς αἱ γυναῖκες, Οὐμενοῦν, εἶπεν, ἀλλ' ὡς οἱ λέοντες.* — 15. *Ἐπεὶ Φωκίων λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει, καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπεν, Οὐ δήπου*[3]) *κακόν τι λέγων ἐμαυτὸν λέληθα;* — 16. *Τῇ Ἀττικῇ τῶν Μακεδόνων προσβαλόντων καὶ πορθούντων τὴν παραλίαν, ἐξήγαγε τοὺς ἐν ἡλικίᾳ· πολλῶν δὲ συνδραμόντων πρὸς αὐτὸν καὶ ἐγκελευσαμένων ἐκεῖνον*[4]) *τὸν λόφον καταλαβεῖν καὶ ἐνταῦθα τάξαι τὴν δύναμιν, Ὦ Ἡράκλεις, εἶπεν, ὡς πολλοὺς ὁρῶ στρατηγούς, στρατιώτας δὲ ὀλίγους! Οὐ μὴν ἀλλὰ*[5]) *συμβαλὼν τοῖς πολεμίοις, ἐκράτησε καὶ διέφθειρε Νικίωνα, τὸν ἄρχοντα τῶν Μακεδόνων.* — 17. *Ἀλκιβιάδης ἀκούσας, ὅτι θάνατος αὐτοῦ καὶ τῶν σὺν αὐτῷ κατέγνωσται, Λείξωμεν οὖν, εἶπεν, ὅτι ζῶμεν. Καὶ πρὸς Λακεδαιμονίους τραπόμενος, τὸν Δεκελεικὸν*[6]) *ἤγειρεν ἐπὶ τοὺς Ἀθηναίους πόλεμον.* — 18. *Λυσάνδρου, Διονυσίου τοῦ τυράννου πέμψαντος ἱμάτια ταῖς θυγατράσιν*

---

1) *μάχην* ist zunächst von *νικήσωμεν* abhängig zu machen und mit demselben zu einem Begriffe zu verbinden, von dem dann der zweite Accus. *Ῥωμαίους* abhängt. — 2) Uebers. den Acc. durch „an". — 3) ich habe doch nicht . . . — 4) jenen da, auf den sie hinwiesen. — 5) nichts desto weniger, dessen ungeachtet. — 6) indem er die Lacedämonier bewog, Dekelia, einen attischen Gränzort, zu befestigen und von dort aus gegen Athen Ausfälle zu machen.

αὐτοῦ τῶν πολυτελῶν, οὐκ ἔλαβεν, εἰπών, δεδιέναι, μὴ διὰ ταῦτα μᾶλλον [1]) αἰσχραὶ φανῶσιν. — 19. Ἀρχίδαμος ὁ Ἀγησιλάου, καταπελτικὸν [2]) ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθέν, ἀνεβόησεν, Ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετή. — 20. Βίων πρὸς τὸν τὰ χωρία κατεδηδοκότα, Τὸν μὲν Ἀμφιάραον [3]), ἔφη, ἡ γῆ κατέπιε, σὺ δὲ τὴν γῆν. — Βίων πλέων ποτὲ μετὰ πονηρῶν λῃσταῖς περιέπεσε· τῶν δέ, Ἀπολώλαμεν, εἰπόντων, ἐὰν γνωσθῶμεν, Ἐγὼ δέ, φησίν, ἐὰν μὴ γνωσθῶμεν. — 21. Ἀνταλκίδας πρὸς τὸν Ἀθηναῖον ἀμαθεῖς ἀποκαλοῦντα τοὺς Λακεδαιμονίους, Μόνοι γοῦν, εἶπεν, ἡμεῖς οὐδὲν μεμαθήκαμεν κακὸν παρ' ὑμῶν. — 22. Ἐπεὶ Πελοπίδας, παρὰ τὸ δίκαιον ἄλοὺς ὑπὸ Ἀλεξάνδρου τοῦ Φεραίων τυράννου καὶ δεθείς, κακῶς αὐτὸν ἔλεγεν, εἰπόντος ἐκείνου, Σπεύδεις ἀποθανεῖν; Πάνυ μὲν οὖν, εἶπεν, ἵνα μᾶλλον ἐπὶ σὲ παροξυνθῶσι Θηβαῖοι, καὶ σὺ δίκην δῷς θᾶσσον. — 23. Σαμίων πρεσβευταῖς μακρολογοῦσιν ἔφασαν οἱ Σπαρτιᾶται, Τὰ μὲν πρῶτα ἐπιλελήσμεθα, τὰ δὲ ὕστερα οὐ συνείκαμεν διὰ τὸ τὰ πρῶτα ἐπιλελῆσθαι. — 24. Ἀργείου ποτὲ εἰπόντος, Πολλοὶ τάφοι παρ' ἡμῖν εἰσι Σπαρτιατῶν, Λάκων εἶπεν, Ἀλλὰ μὴν παρ' ἡμῖν Ἀργείων οὐδὲ εἷς· ὡς αὐτῶν μὲν πολλάκις Ἄργους ἐπιβεβηκότων, Ἀργείων δὲ τῆς Σπάρτης οὐδέποτε. — 25. Φίλιππος ὅτε ἐνέβαλεν εἰς τὴν Λακωνικήν, καὶ ἐδόκουν ἅπαντες ἀπολεῖσθαι, εἶπε δὲ πρός τινα τῶν Σπαρτιατῶν, Τί οὖν ποιήσετε, ὦ Λάκωνες; Τί γάρ, ἔφη, ἄλλο, ἢ ἀνδρείως ἀποθανούμεθα; μόνοι γὰρ ἡμεῖς Ἑλλήνων ἐλεύθεροι εἶναι καὶ μὴ ὑπακούειν ἄλλοις ἐμάθομεν. — 26. Προς-

---

1) vielmehr häßlich, (als ſchön). — 2) eine große Wurfmaſchine (Katapulte). — 3) A. verſank beim Angriff auf Theben mit Wagen und Pferden in einen durch Spaltung der Erde entſtandenen Abgrund.

ελθόντα Λάκαινά τις τὸν υἱὸν θεασαμένη ἐπύθετο, τί πράσσει ἡ πατρίς· εἰπόντος δέ· Πάντες ἀπολώλασι· κεραμίδα ἄρασα ἐπαφῆκεν αὐτῷ καὶ ἀνεῖλεν, εἰποῦσα· Σὲ οὖν κακάγγελον ἀπέπεμψαν ἡμῖν; — 27. Πεισίστρατος ὅτε τῆς ἀρχῆς ἐγκρατὴς ἐγένετο, μετεπέμπετο τοὺς ἐν ταῖς ἀγοραῖς ἀποσχολάζοντας καὶ ἐπυνθάνετο, τί δήποτε εἴη τὸ αἴτιον τοῦ ἀλύειν αὐτούς. Καὶ ἐπέλεγεν τῷ δεῖνι, Εἰ μέν σοι τέθνηκε [1]) ζεῦγος, παρ' ἐμοῦ λαβὼν ἄπιθι καὶ ἐργάζου· καὶ τῷ δεῖνι, Εἰ ἀπορεῖς σπερμάτων, παρ' ἐμοῦ σοι γενέσθω· δεδιώς, μὴ ἡ σχολὴ τούτων ἐπιβουλὴν τέκῃ [2]). — 28. Ἐπαμεινώνδας ὅτε ἐτρώθη [3]) ἐν Μαντινείᾳ καιρίαν [4]) εἰς τὴν σκηνὴν κομισθεὶς ἔτι ἔμπνους Λαΐφαντον [5]) ἐκάλει, ἵνα ἀποδείξῃ στρατηγόν. Οἱ δὲ ἔφασαν τεθνάναι [1]) τὸν ἄνδρα. Εἶτα Ἰολαΐδαν καλεῖν διὰ ταχέος [6]) ἠξίου. Ἐπεὶ δὲ καὶ αὐτός [7]) ἐλέχθη τεθνάναι, συνεβούλευσε διαλύσασθαι πρὸς τοὺς πολεμίους καὶ φιλίαν θέσθαι, ὡς μηκέτι στρατηγοῦ καταλελειμμένου ἐν Θήβαις. — 29. Τῶν Ἰνδῶν τὸν ἄριστον τοξεύειν δοκοῦντα καὶ λεγόμενον διὰ τοῦ δακτυλίου τὸν ὀϊστὸν ἀφιέναι, λαβὼν αἰχμάλωτον ὁ Ἀλέξανδρος ἐκέλευσεν ἐπιδείξασθαι, καὶ μὴ βουλόμενον ὀργισθεὶς ἀνελεῖν [8]) προσέταξεν· ἐπεὶ δὲ ἀγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τοὺς ἄγοντας, ὅτι πολλῶν ἡμερῶν οὐ μεμελέτηκε καὶ ἐφοβήθη διαπεσεῖν [9]), ἀκούσας ὁ Ἀλέξανδρος ἐθαύμασε, καὶ ἀπέλυσε μετὰ δώρων αὐτόν, ὅτι μᾶλλον ἀποθανεῖν [10]) ὑπέμεινεν, ἢ τῆς δόξης ἀνάξιος φανῆναι. — 30. Θαλῆν ποτε ἀστρο-

---

1) θνήσκω. — 2) τίκτω. — 3) τιτρώσκω. — 4) scil. πληγήν — mit einer tödtlichen Wunde d. h. tödtlich. — 5) Daiphantos und Jolaidas waren Anführer der Thebaner. — 6) in Eile d. h. eilig. — 7) Vgl. p. 110. Anm. 3. — 8) ἀναιρέω. — 9) διαπίπτω. Der bloße Inf. steht als Object bei den Verbis des Fürchtens. — 10) ἀποθνήσκω.

νομοῦντα καὶ ἄνω βλέποντα, πεσόντα εἰς φρέαρ, θεραπαινὶς ἀποσκῶψαι λέγεται, ὡς τὰ μὲν ἐν οὐρανῷ προθυμοῖτο εἰδέναι, τὰ δ' ἔμπροσθεν αὐτοῦ καὶ παρὰ πόδας λανθάνοι αὐτόν. — 31. *Φιλιππίδης* ὁ ἡμεροδρόμος λέγεται ἀπὸ *Μαραθῶνος* ἀγγέλλων τὴν νίκην εἰπεῖν πρὸς τοὺς ἄρχοντας καθημένους καὶ πεφροντικότας ὑπὲρ τοῦ τέλους τῆς μάχης, *Χαίρετε, νικῶμεν!* — καὶ τοῦτο εἰπὼν συναποθανεῖν τῇ ἀγγελίᾳ καὶ τὸ χαίρειν συνεκπνεῦσαι. — 32. *Πιττακός*, ὁ τῆς *Λέσβου* τυραννεύσας, νόμον ἔθηκε, τῷ μεθύοντι, ἐὰν ἁμάρτῃ, διπλῆν εἶναι τὴν ζημίαν, ἵνα μὴ μεθύωσι, πολλοῦ κατὰ τὴν νῆσον οἴνου γενομένου. — 33. *Βίας* συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεώς, κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, *Σιγᾶτε*, ἔφη, μὴ αἴσθωνται [1]) ὑμᾶς ἐνθάδε πλέοντας. — 34. *Πρὸς Ἀκραγαντίνους* τρυφῶντας καὶ πόλιν λαμπρὰν οἰκοῦντας *Ἐμπεδοκλῆς* εἶπεν, *Ἀκραγαντῖνοι* τρυφῶσι μὲν ὡς αὔριον ἀποθανούμενοι [2]), οἰκίας δὲ κατασκευάζονται ὡς πάντα τὸν χρόνον βιωσόμενοι. — 35. *Ἀπελλῆς* ὁ ζωγράφος, *Μεγαβύζου Πέρσου* λαμπροῦ παρακαθίσαντος αὐτῷ καὶ περὶ γραμμῆς τι καὶ σκιᾶς βουλομένου λαλεῖν, *Ὁρᾷς*; ἔφη, τὰ παιδάρια ταυτὶ τὰ τὴν μηλίδα τρίβοντα πάνυ σοι προσεῖχε τὸν νοῦν σιωπῶνι, καὶ τὴν πορφύραν ἐθαύμαζε καὶ τὰ χρυσία, νῦν δέ σου καταγελᾷ, περὶ ὧν οὐ μεμάθηκας ἀρξαμένου λαλεῖν. — 36. *Αἰσχίνης* ὁ *Σωκρατικὸς* [3]) ἐπιπληχθείς, ὅτι *Σωκράτει* ἐσχολακὼς σιωπᾷ· Οὐ γὰρ μόνον, εἶπε, λέγειν ἔμαθον παρὰ *Σωκράτους*, ἀλλὰ καὶ σιωπᾶν. — 37. *Ἀγησίλαος* φιλοτεκνότατος ὢν διαφερόντως λέγεται, ὅτι μικροῖς τοῖς παιδίοις κάλαμον περιβεβηκώς, ὥςπερ ἵππον, οἴκοι συνέπαιζεν. *Ὀφθεὶς* [4]) δὲ ὑπό τινος τῶν φίλων παρεκά-

---

1) αἰσθάνομαι mit dem Part. st. des Infin. — 2) ἀποθνήσκω. 3) der Schüler des S. — 4) ὁράω.

λει μηδενὶ φράζειν, πρὶν ἂν καὶ αὐτὸς πατὴρ παίδων γένηται. — 38. Τὸν Πιττακὸν ἰσχυρῶς ἐτίμησαν οἱ Μυτιληναῖοι καὶ τὴν ἀρχὴν ἐνεχείρισαν αὐτῷ. Ὁ δὲ δέκα ἔτη κατασχὼν καὶ εἰς τάξιν ἀγαγὼν τὸ πολίτευμα κατέθετο τὴν ἀρχὴν καὶ δέκα ἐπεβίω ἄλλα, καὶ χώραν αὐτῷ ἀπένειμαν οἱ Μυτιληναῖοι, ἥτις νῦν Πιττάκειος καλεῖται. Κροίσου διδόντος χρήματα οὐκ ἐδέξατο, εἰπὼν ἔχειν, ὧν ἠβούλετο διπλάσια· ἄπαιδος γὰρ τοῦ ἀδελφοῦ τελευτήσαντος κεκληρονομηκέναι. — 39. Μειράκιον Ἐρετρικὸν[1]) Ζήνωνι προσεφοίτησε πλείονα χρόνον. Ἐπανελθόντα δὲ ἤρετο ὁ πατήρ, τί ἂν μάθοι σοφόν. Ὁ δὲ ἔφη δείξειν. Χαλεπήναντος δὲ τοῦ πατρὸς καὶ πληγὰς ἐντείναντος, τὴν ἡσυχίαν ἀγαγὼν καὶ ἐγκαρτερήσας τοῦτο, ἔφη, μεμαθηκέναι, φέρειν ὀργὴν πατρός. — 40. Ἰσοκράτης ἐνενήκοντα καὶ ἓξ ἐτῶν γεγονὼς τὸν πανηγυρικὸν ἔγραφε λόγον· περὶ ἔτη δὲ ἑνὸς ἀποδέοντα ἑκατὸν γεγονώς, ὡς ἤσθετο Ἀθηναίους ὑπὸ Φιλίππου ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ νενικημένους, ποτνιώμενος τὸν Εὐριπίδειον στίχον προσηνέγκατο εἰς ἑαυτὸν ἀναφέρων

Σιδώνιόν ποτ' ἄσιν Κάδμος ἐκλιπών

καὶ ἐπειπών[2]), ὡς δουλεύσει ἡ Ἑλλάς, ἐξέλιπε τὸν βίον. — 41. Σοφοκλῆς ὁ τραγῳδοποιὸς ῥᾳγα σταφυλῆς καταπιὼν ἀπεπνίγη πέντε καὶ ἐνενήκοντα βιώσας ἔτη. Οὗτος ὑπ' Ἰοφῶντος τοῦ υἱέος ἐπὶ τέλει τοῦ βίου παρανοίας κρινόμενος ἀνέγνω τοῖς δικασταῖς Οἰδίπουν τὸν ἐπὶ Κολωνῷ[3]), ἐπιδεικνύμενος διὰ τοῦ δράματος, ὅπως τὸν νοῦν ὑγιαίνει, ὥστε τοὺς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν. — 42. Κρατῖνος δὲ ὁ τῆς κωμῳδίας ποιητὴς ἑπτὰ πρὸς τοῖς ἐνενήκοντα ἔτεσιν ἐβίωσε, καὶ πρὸς τῷ τέλει

---

1) Aus Eretria, c. St. auf Euböa. — 2) ἐπιλέγω. — 3) Eins von den sieben noch erhaltenen Trauerspielen des Sophokles. —

τοῦ βίου διδάξας τὴν Πυτίνην [1]) καὶ νικήσας μετ' οὐ πολὺ ἐτελεύτα. — Καὶ Φιλήμων δὲ ὁ κωμικὸς ὁμοίως τῷ Κρατίνῳ ἑπτὰ καὶ ἐνενήκοντα ἔτη βιώσας κατέκειτο μὲν ἐπὶ κλίνης ἠρεμῶν, θεασάμενος δὲ ὄνον τὰ παρεσκευασμένα αὐτῷ σῦκα κατεσθίοντα ὥρμησε μὲν εἰς γέλωτα, καλέσας δὲ τὸν οἰκέτην καὶ σὺν πολλῷ καὶ ἀθρόῳ γέλωτι εἰπὼν προσδοῦναι τῷ ὄνῳ ἀκράτου ῥοφεῖν, ἀποπνιγεὶς ὑπὸ τοῦ γέλωτος ἀπέθανεν. —

43. Σαυνιτῶν μετὰ τὴν ἧτταν ἀφικομένων πρὸς Μάνιον Κούριον καὶ χρυσίον διδόντων [2]), ἔτυχεν [3]) ἐν χύτραις ἕψων γογγυλίδας· ἀπεκρίνατο δὲ τοῖς Σαυνίταις μηδὲν χρυσίου δεῖσθαι, τοιοῦτον δεῖπνον δειπνῶν [4])· αὐτῷ δὲ βέλτιον εἶναι τοῦ χρυσίον ἔχειν τὸ κρατεῖν τῶν ἐχόντων. — 44. Τοῦ Πύῤῥου παρακαλοῦντος Γάϊον Φαβρίκιον εἶναι σὺν αὐτῷ καὶ τὴν μετ' αὐτὸν ἔχειν ἡγεμονίαν, Οὐδὲ σοί, ἔφη, λυσιτελές ἐστιν· Ἥπειρῶται γάρ, ἐὰν ἀμφοτέρους γνῶσιν ἡμᾶς, ὑπ' ἐμοῦ βασιλεύεσθαι μᾶλλον ἢ σοῦ ἐθελήσουσιν. — 45. Σκιπίων ὁ πρεσβύτερος ἐπεὶ κατὰ κράτος Καρχηδόνα τὴν νέαν εἷλε, καὶ τῶν στρατιωτῶν τινες, αἰχμάλωτον λαβόντες εὐπρεπῆ παρθένον, ἦκον κομίζοντες, αὐτῷ δὲ ἐδίδοσαν, Ἡδέως ἄν, ἔφη, ἔλαβον [5]), εἴπερ ἦν ἰδιώτης καὶ μὴ ἄρχων. — 46. Πυνθανομένου δέ τινος ἐν Σικελίᾳ, τίνι πεποιθὼς ἐπὶ Καρχηδόνα μέλλει τὸν στόλον περαιοῦν, δείξας αὐτῷ ἐνόπλους ἄνδρας τριακοσίους γυμναζομένους, καὶ πύργον ὑψηλὸν ὑπὲρ θαλάττης, Οὐδείς, ἔφη, τούτων ἐστίν, ὅστις ἐπὶ τὸν πύργον ἀναβὰς τοῦτον, οὐκ ἂν ἑαυτὸν ῥίψειεν ἐπὶ κεφαλήν [6]), ἐμοῦ κελεύσαντος. — 47. Ἀντιόχου [7]) δὲ τοῦ βασιλέως, μετὰ τὸ δια-

---

1) „Die Weinflasche", Titel eines Lustspiels. — 2) ... geben wollten. — 3) S. p. 125. Anm. 4. — 4) der Nom., weil in dem abhängigen Satze dasselbe Subj., als in dem regierenden, ist. — 5) ich würde sie gern nehmen, wenn ... — 6) kopfüber. — 7) mit dem Beinamen „der Große".

βῆναι τοὺς Ῥωμαίους ἐπ' αὐτὸν εἰς Ἀσίαν, πέμψαντος πρὸς τὸν Σκιπίωνα περὶ διαλύσεως, Ἔδει [1]) πρότερον, εἶπεν, ἀλλὰ μὴ νῦν, ὁπότε καὶ τὸν χαλινὸν καὶ τὸν ἀναβάτην προσδέδεξαι. — 48. Παῦλος Αἰμίλιος δευτέραν ὑπατείαν μετελθὼν ἀπέτυχεν [2]). ἐπεὶ δὲ τοῦ πρὸς Περσέα καὶ Μακεδόνας πολέμου μῆκος λαμβάνοντος ἀπειρίᾳ καὶ μαλακίᾳ τῶν στρατηγῶν, ἐκεῖνον ὕπατον ἀπέδειξαν, οὐκ ἔφη χάριν ἔχειν αὐτοῖς· οὐ γὰρ αὐτὸς ἀρχῆς δεόμενος [3]), ὡς ἐκείνων ἄρχοντος, ἠρῆσθαι στρατηγός. — 49. Ἐλθὼν δὲ εἰς οἶκον ἐξ ἀγορᾶς, καὶ τὴν Τερτίαν τὴν θυγατέρα εὑρὼν δεδρακυμένην, ἐπυνθάνετο τὴν αἰτίαν. Εἰπούσης δὲ ἐκείνης, ὅτι Περσεὺς τέθνηκεν ἡμῖν (κυνίδιον δ' ἦν οὕτως ὀνομαζόμενον). Ἀγαθῇ τύχῃ [4]), εἶπεν, ὦ θύγατερ, καὶ δέχομαι τὸν οἰωνόν. — 50. Κάτων ὁ πρεσβύτερος πλείονας πόλεις ἑλών, ὥς φησι, τῶν ἡμερῶν, ἃς διέτριψεν ἐν τοῖς πολεμίοις, οὐδὲν αὐτὸς πλέον λαβεῖν ὧν [5]) ἔφαγε καὶ ἔπιεν ἐκ τῆς πολεμίας. — 51. Γάϊος Καῖσαρ, τῶν στρατιωτῶν αὐτῷ βραδέως εἰς Ἀνδράχιον ἐκ Βρεντησίου κομιζομένων [6]), λαθὼν [7]) ἅπαντας εἰς πλοῖον μικρὸν ἐμβὰς ἐπεχείρησε διαπλεῖν τὸ πέλαγος· συγκλυζομένου δὲ τοῦ πλοίου, ποιήσας τῷ κυβερνήτῃ φανερὸν ἑαυτὸν ἀνεβόησε, Πίστευε τῇ τύχῃ, γνούς [8]), ὅτι Καίσαρα κομίζεις. —

2. Charakterzüge aus dem Leben des Sokrates und Diogenes. (Fortsetzung von I, 2. p. 157.)

1. Σωκράτης ὁ φιλόσοφος πολλοὺς ἐπιθυμητὰς καὶ ἀστοὺς καὶ ξένους λαβών, οὐδένα πώποτε μισθὸν

---

1) Ergänze: σὲ προσπέμψαι. Der Vergleich ist vom Pferde hergenommen. — 2) ἀποτυγχάνω. — 3) S. p. 187. Anm. 4. — 4) Glück zu. — 5) = τούτων (ἢ ταῦτα), ἃ. — 6) Als Cäsar den Pompejus verfolgte. — 7) Allen unbemerkt: λανθάνω wird wie τυγχάνω verbunden: s. p. 127, Anm. 4. — 8) γιγνώσκω.

τῆς συνουσίας [1]) ἐπράττετο, ἀλλὰ πᾶσιν ἀφθόνως ἐπήρκει τῶν ἑαυτοῦ [2])· μισθοῦ δ' ἀπεχόμενος ἐνόμιζεν ἐλευθερίας ἐπιμελεῖσθαι· τοῖς δὲ λαμβάνουσι τῆς ὁμιλίας μισθὸν ἀναγκαῖον εἶναι διαλέγεσθαι, παρ' ὧν [3]) ἂν λάβοιεν τὸν μισθόν. Ἐθαύμαζε δ', εἴ τις ἀρετὴν ἐπαγγελλόμενος ἀργύριον πράττοιτο καὶ μὴ νομίζοι τὸ μέγιστον κέρδος ἕξειν, φίλον ἀγαθὸν κτησάμενος [4]), ἀλλὰ φοβοῖτο, μὴ [5]) ὁ γενόμενος καλὸς κἀγαθὸς τῷ τὰ μέγιστα εὐεργετήσαντι μὴ [5]) τὴν μεγίστην χάριν ἔξοι. — 2. Ὁ αὐτὸς πρὸς τὸν πυθόμενον, τίς πλουσιώτατος, εἶπεν· Ὁ ἐλαχίστου ἀρκούμενος· αὐτάρκεια γὰρ φύσεώς ἐστι πλοῦτος. — 3. Ἰδὼν Ἀντισθένη τὸν κυνικὸν τὸ διερρωγὸς [6]) ἱματίου μέρος ἀεὶ ποιοῦντα φανερόν· Οὐ παύσῃ, ἔφη, ἐγκαλλωπιζόμενος ἡμῖν; — 4. Σωκράτης Ἀρχελάου τοῦ Μακεδόνων βασιλέως μεταπεμπομένου αὐτόν, ὡς [7]) ποιήσοντος πλούσιον, ἐκέλευσεν ἀπαγγεῖλαι αὐτῷ, ὅτι Ἀθήνησι τέσσαρές εἰσι χοίνικες ἀλφίτων ὀβόλου [8]) ὦνιοι, καὶ κρῆναι ὕδατος ῥέουσιν. — 5. Ὁ αὐτὸς ἐκέλευε τοὺς νέους πολλάκις εἰσοπτρίζεσθαι, τοὺς μὲν εὐπρεπεῖς, ἵνα ὅμοιον ποιῶσιν τῷ εἴδει τὸν τρόπον, τοὺς δὲ ἀμόρφους, ἵνα περιστέλλοιεν τὸ δυσειδὲς τῇ εὐτροπίᾳ. — 6. Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ, καὶ μέγα φρονοῦντα ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν ἐπί τινα τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον [9]), καὶ προσέταξε τὴν Ἀττικὴν ἐνταῦθα ἀναζητεῖν. Ὡς δὲ εὗρε, προσέταξε τοὺς ἀγροὺς τοὺς ἰδίους διαθρῆσαι.

---

1) Für d. A. — 2) τὰ ἑαυτοῦ das Seinige. — 3) τούτοις, παρ' ὧν. — 4) „daß er gewänne." — 5) die beiden Negationen verstärken: es möchte der . . . nicht den größten Dank erweisen. — 6) διαῤῥήγνυμι. — 7) S. p. 143. Anm. 1. — 8) Gen. pretii. — 9) den Umkreis der Erde: es war also eine Charte der damals bekannten Welt, von denen Anaximander zur Zeit des Cyrus die ersten gemacht haben soll.

Τοῦ δὲ εἰπόντος, ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν· Ἐπὶ τούτοις, εἶπε, μέγα φρονεῖς, οἵτερ οὐδὲν μέρος τῆς γῆς εἰσίν; — 7. Σωκράτους φεύγοντος τὴν δίκην, Λυσίας λόγον [1]) τινὰ συγγράψας ἦλθεν αὐτῷ κομίζων, καὶ ἐκέλευε χρήσασθαι· τοῦ δὲ Λυσίου εἰπόντος, καὶ μὴν κάλλιστον αὐτὸν εἶναι, Καὶ τὰ ῥόδα, ἔφη, κάλλιστα ἐστίν, ἀλλ' οὐ πρέπειν αὐτῷ τὸ στεφάνωμα. Τεθνήξῃ τοίνυν, ἔφη ὁ Λυσίας, εἰ μὴ οὕτως ἀπολογήσῃ· ὁ δέ, Εἰ γάρ, ἔφη, καὶ μὴ νῦν, πάντως τεθνήξομαι. — 8. Ἑορτῆς οὔσης παρὰ τοῖς Ἀθηναίοις, ἐφιλοτιμήσατο ὁ Ἀλκιβιάδης δῶρα πολλὰ πέμψαι τῷ Σωκράτει. Τῆς οὖν Ξανθίππης καταπλαγείσης καὶ τὸν Σωκράτην λαβεῖν αὐτὰ ἀξιούσης, ἔφη· Ἀλλὰ καὶ ἡμεῖς τῇ τοῦ Ἀλκιβιάδου φιλοτιμίᾳ παραταξόμεθα, μὴ λαβεῖν τὰ πεμφθέντα ἀντιφιλοτιμησάμενοι. —

9. Διογένης εἰς Μύνδον ἐλθὼν καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, Ἄνδρες Μύνδιοι, ἔφη, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ. — 10. Πλάτωνος ὁρισαμένου, Ἄνθρωπός ἐστι ζῷον δίπουν ἄπτερον, καὶ εὐδοκιμοῦντος [2]), Διογένης τίλας ἀλεκτρυόνα εἰσήνεγκεν [3]) εἰς τὴν σχολὴν αὐτοῦ, καί φησιν, Οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος. — 11. Ἰδών ποτε Ὀλυμπιονίκην πρόβατα νέμοντα, Ταχέως, εἶπεν, ὦ βέλτιστε μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νεμέα [4]). — 12. Ἰδών ποτε δύο Κενταύρους κάκιστα ἐζωγραφημένους, ἔφη· Πότερος οὖν τούτων Χείρων [5]) ἐστίν; — 13. Ἰδὼν τοξότην ἀφυῆ, παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπών, ἵνα μὴ πληγῶ. — 14. Ἤλγει τὸν ὦμον Διογένης ἢ τρωθείς [6]), οἶμαι, ἢ ἐξ ἄλλης τινὸς

---

1) Vertheidigungsrede. — 2) und damit Beifall fand. — 3) εἰσφέρω. — 4) Wortspiel: Νεμέα nemeische Spiele und (von νέμω) die Weide. — 5) Wortspiel in der doppelten Bedeutung von χείρων. — 6) τιτρώσκω.

αἰτίας. Ἐπεὶ δὲ ἐδόκει σφόδρα ἀλγεῖν, τῶν τις ἀχθομένων αὐτῷ [1]) κατεκερτόμει λέγων· Τί οὖν οὐκ ἀποθνήσκεις, ὦ Διόγενες, καὶ σεαυτὸν ἀπαλλάττεις κακῶν; Ὁ δὲ εἶπε· Τοὺς εἰδότας, ἃ δεῖ πράττειν ἐν τῷ βίῳ, καὶ ἃ δεῖ λέγειν, τούτους γε ζῆν προσήκει (ὧν καὶ αὐτὸς ὁμολόγει εἶναι). Σοὶ μὲν οὖν, ἔφη, οὐκ εἰδότι τά τε λεκτέα καὶ τὰ πρακτέα, ἀποθανεῖν ἐν καλῷ ἐστιν· ἐμὲ δὲ τὸν ἐπιστήμονα ἐκείνων πρέπει ζῆν. — 15. Ἐπῄνει ποτὲ Σπαρτιάτης τὸ ἔπος Ἡσιόδου, τὸ λέγον [2])·

Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη·

ἀκούοντος Διογένους· ὁ δὲ εἶπε· Καὶ μὴν Μεσσήνιοι [3]) καὶ αἱ βόες αὐτῶν ἀπολώλασι, καὶ ὑμεῖς αὐτῶν ἐστε οἱ γείτονες. — 16. Διογένης, ὅτε λοιπὸν ἐνόσει ἐπὶ θανάτῳ, ἑαυτὸν φέρων μόνον ἔῤῥιψε κατά τινος γεφυρίου πρὸς γυμνασίῳ ὄντος, καὶ προσέταξε τῷ τῆς παλαίστρας φύλακι, ἐπειδὰν αἴσθηται ἀποπεπνευκότα αὐτόν, ῥίψαι εἰς τὸν Ἴλισσόν. Οὕτως ἄρα ὀλίγου ἔμελε Διογένει καὶ θανάτου καὶ ταφῆς. Οἱ δὲ λέγουσιν, αὐτὸν παρὰ Ξενιάδῃ [4]) τῷ Κορινθίῳ γηρᾶναι [5]) καὶ ἀποθανόντα ταφῆναι ὑπὸ τῶν υἱῶν αὐτοῦ. —

---

3. Erzählungen verschiedenen Inhalts.

1. Stolz und List des Thebaners Ismenias.

Ἰσμηνίου τοῦ Θηβαίου σοφὸν ἅμα καὶ Ἑλληνικὸν οὐκ ἂν κρυψαίμην ἔργον. Πρεσβεύων οὗτος ὑπὲρ τῆς

---

1) Einer von denen, die ihm nicht wohlwollten. — 2) den Vers des Hesiod, der lautet. — 3) In drei Kriegen wurden die Messenier von den Spartanern unterjocht. — 4) Vergl. p. 160. No. 17. — 5) γηράσκω. —

πατρίδος πρὸς βασιλέα τῶν Περσῶν[1]) ἀφίκετο μέν, ἐβούλετο δὲ αὐτὸς ὑπὲρ ὧν ἦκεν ἐντυχεῖν[2]) τῷ Πέρσῃ. Ἔφη οὖν πρὸς αὐτὸν ὁ χιλίαρχος, ὁ καὶ τὰς ἀγγελίας εἰσκομίζων τῷ βασιλεῖ καὶ τοὺς δεομένους εἰσάγων, Ἀλλ', ὦ ξένε Θηβαῖε, (ἔλεγε δὲ ταῦτα παίζων δι' ἑρμηνέως, Τιθραύστης δὲ ἦν ὄνομα τῷ χιλιάρχῳ) νόμος ἐστὶν ἐπιχώριος Πέρσαις, τὸν εἰς ὀφθαλμοὺς ἐλθόντα τοῦ βασιλέως, μὴ πρότερον λόγου μεταλαγχάνειν, πρὶν ἢ προσκυνῆσαι αὐτόν. Εἰ τοίνυν αὐτὸς διὰ σαυτοῦ[3]) συγγενέσθαι θέλεις αὐτῷ, ὥρα σοι τὰ ἐκ τοῦ νόμου δρᾶν· εἰ δὲ μή, τὸ αὐτό σοι τοῦτο καὶ δι' ἡμῶν ἀνυσθήσεται καὶ μὴ προσκυνήσαντι. Ὁ τοίνυν Ἰσμηνίας, Ἄγε με, εἶπε. Καὶ προσελθὼν καὶ ἐμφανὴς τῷ βασιλεῖ γενόμενος, περιελόμενος τὸν δακτύλιον, ὃν ἔτυχε φορῶν, ἔῤῥιψεν ἀδήλως παρὰ τοὺς πόδας· καὶ ταχέως ἐπικύψας, ὡς δὴ προσκυνῶν, πάλιν ἀνείλετο αὐτόν, καὶ δόξαν μὲν ἀπέστειλε τῷ Πέρσῃ προσκυνήσεως· οὐ μὴν ἔδρασεν οὐδὲν τῶν ἐν τοῖς Ἕλλησιν αἰσχύνην φερόντων. Πάντα οὖν, ὅσα ἠβουλήθη, κατεπράξατο, οὐδὲ ἠτύχησέ τι ἐκ τοῦ Πέρσου. —

2. Geistesgegenwart eines Landmannes und Dankbarkeit eines Königs.

Νόμος ὅδε Περσικὸς ἐν τοῖς μάλιστα[4]) ὑπ' αὐτῶν φιλαττόμενος· ὅταν εἰς Πέρσας ἐλαύνῃ βασιλεύς, πάντες αὐτῷ Πέρσαι κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκαστος προσκομίζει. Φασὶν οὖν ἄνδρα Πέρσην, ᾧ ὄνομα ἦν Σιναίτης, πόῤῥω τῆς ἐπαύλεως τῆς ἑαυτοῦ ἐντυχεῖν Ἀρταξέρξῃ τῷ ἐπικαλουμένῳ Μνήμονι. Ἀπολειφθέντα

1) Artaxerxes Mnemon, an den Ismenias nach der Schlacht bei Leuktra geschickt wurde, 372 v. Chr. — 2) ἐντυγχάνω. — 3) persönlich. — 4) am allermeisten.

οὖν θορυβηθῆναι δέει τοῦ νόμου καὶ αἰδοῖ τοῦ βασιλέως. Οὐκ ἔχων δὲ ὅ τι χρήσεται τῷ παρόντι [1]), ἡττηθῆναι τῶν ἄλλων Περσῶν μὴ φέρων, μηδὲ ἄτιμος δόξαι, τῷ [2]) μὴ δωροφορῆσαι βασιλέα, ἀλλ' οὗτός γε [3]) πρὸς τὸν ποταμὸν τὸν πλησίον παραῤῥέοντα, ᾧ Κῦρος ὄνομα, ἐλθὼν [4]) σὺν σπουδῇ καὶ ᾗ ποδῶν εἶχε μάλιστα [5]), ἐπικύψας, ἀμφοτέραις ταῖς χερσὶν ἀρυσάμενος τοῦ ὕδατος, βασιλεῦ, φησίν, Ἀρταξέρξη, δι' αἰῶνος βασιλεύοις· νῦν μὲν οὖν σε, ὅπως ἔχω, τιμῶ, ὡς ἂν μὴ ἀγέραστος τὸ κατ' ἐμέ [6]) παρέλθῃς. Τιμῶ δέ σε Κύρου ποταμοῦ ὕδατι. Ὅταν δὲ ἐπὶ τὸν σταθμὸν τὸν σὸν παραγένῃ, οἴκοθεν, ὡς ἔνι [7]) μάλιστα, οὕτω τιμήσω σε· καὶ δὴ οὐδὲν ἐλάττων γενοίμην ἂν τινὸς τῶν ἄλλων τῶν ἤδη σε δεξιωσαμένων τοῖς δώροις. Ἐπὶ τούτοις Ἀρταξέρξης ἥσθη, καὶ, Λέχομαι ἡδέως, φησίν, ἄνθρωπε, τὸ δῶρον, καὶ τιμῶ γε αὐτὸ τῶν πάνυ πολυτελῶν [8]) καὶ ἰσοστάσιον ἐκείνοις λέγω· πρῶτον μέν, ὅτι ὕδωρ ἐστὶ τὸ πάντων ἄριστον· δεύτερον δέ, ὅτι Κύρου ὄνομα ἐν ἑαυτῷ φέρει. Καὶ σὺ δέ μοι καταλύοντι ἐν τῷ σταθμῷ πάντως ἐπιφάνηθι. Ταῦτα εἰπὼν προσέταξε τοῖς εὐνούχοις λαβεῖν τὸ ἐξ αὐτοῦ δῶρον. Οἱ δὲ τὴν ταχίστην προσδραμόντες, εἰς χρυσῆν φιάλην ἐδέξαντο ἐκ τῶν χειρῶν αὐτοῦ τὸ ὕδωρ. Ἐλθὼν δὲ ἔνθα [9]) κατέλυεν ὁ βασιλεὺς ἔπεμψε τῷ ἀνδρὶ τῷ Πέρσῃ στολὴν Περσικὴν καὶ φιάλην χρυσῆν καὶ χιλίους δαρεικοὺς καὶ προσέταξε τὸν κομίζοντα αὐτὰ εἰπεῖν τῷ λαβόντι· Κελεύει σε βασιλεύς, ἐκ μὲν τούτου τοῦ χρυ-

---

1) Was er unter den Umständen thun sollte. — 2) dadurch, daß. — 3) Sinaites. — 4) ἔρχομαι. — 5) so gut er zu Fuße war, d. h. so schnell als möglich. — 6) so viel an mir liegt. — 7) ἔνι = ἔνεστι, soviel als irgend möglich. — 8) als eins der ganz kostbaren. — 9) = ἐνταῦθα, ἔνθα· die Auslassung des Demonstrativs vor dem Relativ ist sehr häufig bei so naher Beziehung.

σίου εὐφραίνειν τὴν σεαυτοῦ ψυχήν, ἐπεὶ καὶ σὺ τὴν ἐκείνου εὔφρανας, μὴ αὐτὸν ἀγέραστον, μηδὲ ἄτιμον ἐάσας, ἀλλ' ὡς ἤδη ἐχώρει, ταύτῃ[1]) τιμήσας· βούλεται δέ σε καὶ τῇ φιάλῃ ταύτῃ ἀρυόμενον, πίνειν ἐξ ἐκείνου τοῦ ὕδατος. —

3. Wer im Geringen tüchtig ist, wird es auch im Großen sein.

Ῥοιὰν ἐπὶ λίκνου μεγίστην ὁ Μίσης Ἀρταξέρξῃ τῷ βασιλεῖ ἐλαύνοντι[2]) τὴν Περσίδα προσέκομισε. Τὸ μέγεθος[3]) οὖν αὐτῆς ὑπερεκπλαγεὶς ὁ βασιλεύς, ἐκ ποίου παραδείσου, φησί, λαβὼν φέρεις μοι τὸ δῶρον τοῦτο; Τοῦ δὲ εἰπόντος, ὅτι[4]) οἴκοθεν καὶ τῆς αὐτοῦ γεωργίας, ὑπερήσθη καὶ δῶρα μὲν αὐτῷ βασιλικὰ ἔπεμψε καὶ ἐπεῖπε, Νὴ τὸν Μίθραν, ἀνὴρ οὗτος ἐκ τῆς ἐπιμελείας ταύτης δυνήσεται καὶ πόλιν, κατά γε τὴν ἐμὴν κρίσιν, ἐκ μικρᾶς μεγάλην ποιῆσαι. — Ἔοικε δὲ ὁ λόγος ὁμολογεῖν οὗτος, ὅτι πάντα ἐκ τῆς ἐπιμελείας καὶ τῆς διαρκοῦς φροντίδος καὶ τῆς σπουδῆς τῆς ἀνελλιποῦς καὶ τῶν κατὰ φύσιν δύναιτο ἂν κρείττω γενέσθαι. —

4. Der wahre Genuß.

Τιμόθεος ὁ Κόνωνος, ὁ Ἀθηναίων στρατηγός, ὅτε ἐν ἀκμῇ τῆς εὐτυχίας ἦν καὶ ἥρει τὰς πόλεις ῥᾷστα, ὥστε οὐκ εἶχον[5]) Ἀθηναῖοι, ὅποι ποτὲ αὐτὸν κατάθωνται ὑπὸ θαύματος τοῦ περὶ τὸν ἄνδρα, περιέτυχε Πλάτωνι τῷ Ἀρίστωνος, βαδίζοντι ἔξω τοῦ τείχους μετά τινων γνωρίμων. Ἰδὼν δὲ αὐτὸν σεμνὸν μὲν τὸ

1) Correlativ zu ὡς (wofür man also eigentlich ᾗ erwarten sollte). — 2) als er Persien durchzog. — 3) Accus. abhängig von ὑπερεκπλαγείς (über). — 4) Ergänze aus λαβών: ἔλαβεν. — 5) Wie im Lateinischen: non habebant, quo etc.

πλάτος [1]), ἴλεων δὲ τῷ προσώπῳ, διαλεγόμενον δὲ οὐχὶ περὶ εἰσφορᾶς χρημάτων, οὐδὲ ὑπὲρ τριηρῶν, οὐδὲ ὑπὲρ ναυτικῶν, οὐδὲ ὑπὲρ πληρωμάτων, οὐδὲ ὑπὲρ τοῦ δεῖν βοηθεῖν, οὐδὲ ὑπὲρ φόρου τοῦ τῶν συμμάχων, οὐδὲ ὑπὲρ τῶν νησιωτῶν, ἢ ὑπὲρ ἄλλου τινὸς τοιούτου, ἀλλ' ὑπὲρ ὧν εἰώθει σπουδάζειν ὁ Πλάτων· τότε [2]) ἐπέστη ὁ Τιμόθεος καὶ εἶπεν· Ὦ τοῦ βίου καὶ τῆς ὄντως εὐδαιμονίας. Ἐκ τούτων οὖν δῆλον, ὡς ἑαυτὸν οὐ πάνυ τι εὐδαίμονα ἀπέφαινεν, ὅτι μὴ ἐν τούτοις, ἀλλ' ἐν τῇ παρ' Ἀθηναίων δόξῃ καὶ τιμῇ ἦν. —

Ὁ αὐτὸς ἀποστάς ποτε τῶν δείπνων τῶν πολυτελῶν καὶ τῶν ἑστιάσεων τῶν στρατηγικῶν ἐκείνων, παραληφθεὶς ὑπὸ τοῦ Πλάτωνος εἰς τὸ ἐν Ἀκαδημίᾳ συμπόσιον καὶ ἑστιαθεὶς ἀφελῶς ἅμα καὶ μουσικῶς, ἔφη πρὸς τοὺς οἰκείους ἐπανελθών, ὅτι ἄρα οἱ παρὰ Πλάτωνι δειπνοῦντες καὶ τῇ ὑστεραίᾳ καλῶς διάγουσιν. Ἐκ δὲ τούτου διέβαλεν ὁ Τιμόθεος τὰ πολυτελῆ δεῖπνα καὶ φορτικά, ὡς πάντα ἐς τὴν ὑστεραίαν οὐκ εὐφραίνοντα. — Λόγος δὲ καὶ ἐκεῖνος ὁ ἀδελφὸς τῷ προειρημένῳ καὶ ταὐτὸν νοῶν, οὐ μὴν τὰ αὐτὰ λέγων, περίεισιν, ὅτι ἄρα τῇ ὑστεραίᾳ ὁ Τιμοθέος περιτυχὼν τῷ Πλάτωνι εἶπεν· Ὑμεῖς, ὦ Πλάτων, εὖ δειπνεῖτε μᾶλλον εἰς τὴν ὑστεραίαν, ἢ εἰς τὴν παροῦσαν. —

5. Der wahre Besitz.

Ἔστι τις λόγος, ὡς ἄρα ἰδὼν ἀνὴρ ἄνδρα ἕτερον ἀργύριον ἀναιρούμενον πολὺ ἐδεῖτο οἱ δανεῖσαι ἐπὶ τόκῳ [3])· ὁ δ' οὐκ ἠθέλησεν διδόναι, ἀλλ' ἦν τοιοῦτος ὥστε ἀπιστεῖν τε καὶ ὠφελεῖν μηδένα [4]). Φέρων δ' ἀπέ-

---

1) Accus. der Beziehung. — 2) Hierdurch wird der lange Vordersatz noch einmal zusammengefaßt. — 3) auf Zins. — 4) die Verba des Nützens und Schadens mit dem Accus. der Person.

θετό ποι δή, καί τις καταμαθὼν [1]) τοῦτο ποιοῦντα ὑφείλετο [2])· ὑστέρῳ δὲ χρόνῳ ἐλθὼν οὐχ εὗρισκε τὰ χρήματα ὁ καταθέμενος. Περιαλγῶν οὖν τῇ συμφορᾷ τά τε ἄλλα [3]), καὶ ὅτι οὐκ ἔδωκε τῷ δεομένῳ, ὃ ἂν αὐτῷ καὶ σῶον ἦν καὶ ἕτερον προσέφερεν, ἀπαντήσας δὲ τῷ ἀνδρὶ τῷ τότε δανειζομένῳ ἀπωλοφύρετο τὴν συμφοράν, ὅτι ἐξήμαρτε [4]), καὶ ὅτι αὐτῷ μεταμέλει οὐ χαρισαμένῳ, ἀλλ' ἀχαριστήσαντι, καὶ πάντως αὐτῷ ἀπολόμενον [5]) τὸ ἀργύριον· ὁ δ' αὐτὸν ἐκέλευε μὴ φροντίζειν, ἀλλὰ νομίζειν αὐτὸ εἶναι κατατεθειμένον καὶ μὴ ἀπολωλέναι [5]), καταθέμενον [6]) λίθον εἰς τὸ αὐτὸ χωρίον, Πάντως γὰρ οὐδ', ὅτε ἦν σοι, ἐχρῶ αὐτῷ, ὅθεν μηδὲ νῦν νόμιζε στέρεσθαι μηδενός· ὅτῳ γάρ τις μὴ ἐχρήσατο μηδὲ χρήσεται, ὄντος ἢ μὴ ὄντος αὐτῷ [7]), οὐδὲν οὔτε πλέον οὔτε ἔλασσον βλάπτεται· ὅταν γὰρ ὁ θεὸς μὴ παντελῶς βούληται ἀγαθὰ διδόναι ἀνδρί, χρημάτων πλοῦτον παρασχών, τοῦ φρονεῖν καλῶς πένητα [8]) ποιήσας, τὸ ἕτερον ἀφελόμενος ἑκατέρων ἀπεστέρησεν. —

6. Suche nicht Ruhm in unbedeutenden Dingen.

Ἀννίκερις [9]) ὁ Κυρηναῖος ἐπὶ τῇ ἱππείᾳ μέγα ἐφρόνει καὶ ἁρμάτων ἐλάσει [10]). Καὶ οὖν ποτε ἠβουλήθη Πλάτωνι ἐπιδείξασθαι τὴν τέχνην. Ζεύξας οὖν τὸ ἅρμα, περιήλασεν ἐν Ἀκαδημίᾳ δρόμους παμπόλλους, οὕτως ἀκριβῶς φυλάττων τοῦ δρόμου τὸν στοῖχον, ὡς μὴ παραβαίνειν τὰς ἁρματοτροχίας, ἀλλ' ἀεὶ κατ'

---

1) καταμάνθανω. — 2) ὑφαιρέω. — 3) sowohl überhaupt, als besonders, daß . . . — 4) ἐξαμαρτάνω. — 5) ἀπόλλυμι. — 6) indem er hinlege. — 7) mag er es haben oder nicht. — 8) arm an richtiger Ueberlegung (um das Geld anzuwenden), das ist τὸ ἕτερον. — 9) Ein übrigens unbekannter Mann. — 10) Auf diese Kunst wurde bei den Griechen und Römern viel gehalten.

αὐτῶν ἰέναι. Οἱ μὲν οὖν ἄλλοι πάντες, ὥςπερ εἰκός, ἐξεπλάγησαν. Ὁ δὲ Πλάτων τὴν ὑπερβάλλουσαν αὐτοῦ σπουδὴν διέβαλεν, εἰπών, Ἀδύνατόν ἐστι, τὸν εἰς μικρὰ οὕτω καὶ οὐδενὸς ἄξια τοσαύτην φροντίδα κατατιθέμενον ὑπὲρ μεγάλων τινῶν σπουδάσαι. Πᾶσαν γὰρ αὐτῷ τὴν διάνοιαν εἰς ἐκεῖνα ἀποιεθεῖσαν ἀνάγκη ὀλιγωρεῖν τῶν ὄντως θαυμάζεσθαι δικαίων. —

7. Lohn der kindlichen Liebe.

Ὅτε ἑάλω τὸ Ἴλιον, οἰκτείραντες οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας πάνυ Ἑλληνικῶς [1]) τόδε κηρῦξαι λέγονται· Ἕκαστον τῶν ἐλευθέρων ἓν ὅ τι καὶ βούλεται τῶν οἰκείων ἀπενεγκεῖν ἀράμενον. Ὁ οὖν Αἰνείας τοὺς πατρῴους θεοὺς βαστάσας ἔφερεν, ὑπεριδὼν τῶν ἄλλων. Ἡσθέντες οὖν ἐπὶ τῇ τοῦ ἀνδρὸς εὐσεβείᾳ οἱ Ἕλληνες καὶ δεύτερον αὐτῷ κτῆμα συνεχώρησαν λαβεῖν. Ὁ δὲ τὸν πατέρα πάνυ σφόδρα γεγηρακότα ἀναθέμενος ὤμοις ἔφερεν. Ὑπερεκπλαγέντες οὖν καὶ ἐπὶ τούτῳ οὐχ ἥκιστα, πάντων αὐτῷ τῶν οἰκείων κτημάτων ἀπέσησαν [2]), ὁμολογοῦντες, ὅτι πρὸς τοὺς εὐσεβεῖς τῶν ἀνθρώπων, καὶ τοὺς θεοὺς καὶ τοὺς γειναμένους [3]) δι' αἰδοῦς ἀγοντας [4]), καὶ οἱ φύσει πολέμιοι ἥμεροι γίγνονται. —

8. Wann hören Könige die Wahrheit?

Ἀντίοχος ὁ στρατεύσας δεύτερον ἐπὶ Πάρθους [5]), ἔν τινι κυνηγεσίῳ καὶ διωγμῷ τῶν φίλων καὶ θεραπόντων ἀποπλανηθείς, εἰς ἔπαυλιν πενήτων ἀνθρώπων ἀγνοούμενος εἰςῆλθε· καὶ παρὰ τὸ δεῖπνον ἐμβαλὼν

1) = menschenfreundlich, im Gegensatz von βαρβαρικῶς. — 2) sie standen ab von, d. h. sie überließen ihm . . . — 3) s. Gr. §. 65. A. 4. — 4) Apposition zu τοὺς εὐσεβεῖς. — 5) Die Herrschaft der Parther bestand von 256 v. Chr. bis 226 n. Chr.

λόγον περὶ τοῦ βασιλέως, ἤκουσεν, ὅτι τἆλλα χρηστός ἐστι, φίλοις δὲ μοχθηροῖς ἐπιτρέπων τὰ πλεῖστα παρορᾷ, καὶ πολλάκις ἀμελεῖ τῶν ἀναγκαίων διὰ τὸ λίαν φιλόθηρος εἶναι. Τότε μὲν οὖν ἐσιώπησεν· ἅμα δὲ ἡμέρᾳ τῶν δορυφόρων παραγενομένων ἐπὶ τὴν ἔπαυλιν, φανερὸς γενόμενος, προσφερομένης ἧς πορφύρας αὐτῷ καὶ τοῦ διαδήματος, Ἀλλ' ἀφ' ἧς, εἶπεν, ἡμέρας ὑμᾶς ἀνείληφα, πρῶτον χθὲς ἀληθινῶν λόγων ἤκουσα περὶ ἐμαυτοῦ. —

9. Standhaftigkeit eines spartanischen Knaben.

Παῖς Σπαρτιάτης, ἐπεὶ παρῆν ὁ καιρός, ἐν ᾧ κλέπτειν ἐνενόμιστο τοὺς ἐλευθέρους παῖδας, ὅ τι τις δύναιτο, καὶ μὴ λαθεῖν αἰσχρὸν ἦν, ὡς οἱ σὺν αὐτῷ παῖδες ζῶν ἔκλεψαν ἀλωπέκιον, καὶ ἔδοσαν αὐτῷ φυλάττειν· παραγενομένων τῶν ἀπολωλεκότων ἐπὶ ζήτησιν, ἔτυχε μὲν ὑποβαλὼν τὸ ἀλωπέκιον ὑπὸ τὸ αὐτοῦ ἱμάτιον· ἀγριαίνοντος δὲ τοῦ θηρίου καὶ τὴν πλευρὰν αὐτοῦ κατεσθίοντος μέχρι τῶν σπλάγχνων, ἠρέμει, ἵνα μὴ γένηται καταφανής. Ὡς δὲ ὕστερον ἐκείνων ἀπελθόντων ἐθεάσαντο τὸ γεγονὸς οἱ παῖδες καὶ ἐμέμφοντο, λέγοντες ἄμεινον εἶναι φανερὸν ποιῆσαι τὸ ἀλωπέκιον, ἢ μέχρι θανάτου κρύπτειν, Οὐμενοῦν, εἶπεν, ἀλλὰ κρεῖττον ταῖς ἀλγηδόσι τελευτᾶν, ἢ περίφωρον γενόμενον, διὰ μαλακίαν τὸ ζῆν αἰσχρῶς περιποιήσασθαι.

10. Undank ist der Welt Lohn.

Τιμόθεον τὰ μὲν πρῶτα ἐπῄνουν Ἀθηναῖοι· ἐπεὶ δὲ ἔδοξεν ἁμαρτεῖν ἃ ἔδοξεν, ἡ φθάνουσα αὐτὸν ἀνδραγαθία, ἀλλ' οὐδὲ ὀλίγον ἔσωσεν, οὐδὲ μὴν αἱ τῶν προγόνων [1]) ἀρεταί. — Θεμιστοκλῆς δὲ οὐδὲν ὤνησε [2]), οὔτε ἐκ τῆς ναυμαχίας τῆς περὶ Σαλαμῖνα, οὔτε ἐκ

1) z. B. seines Vaters Konon. — 2) ὀνίνημι.

τῆς πρεσβείας τῆς εἰς Σπάρτην· λέγω δὲ ἣν ἐπρέσβευσε κλέπτων τὴν τῶν Ἀθηναίων τείχισιν. Ἔφυγε γὰρ κἀκεῖνος οὐ τὰς Ἀθήνας μόνον, ἀλλὰ καὶ τὴν Ἑλλάδα πᾶσαν. Καὶ πρότερον ἔλεγε τοὺς Ἀθηναίους οὐ τιμᾶν αὐτὸν οὐδὲ θαυμάζειν, ἀλλ' ὥσπερ πλατάνῳ χειμαζομένους μὲν ὑποτρέχειν καὶ κινδυνεύοντας, εὐδίας δὲ περὶ αὐτοὺς γενομένης τίλλειν καὶ κολούειν. — Φωκίωνα δὲ ἡ εὐφημία ἡ καλοῦσα αὐτὸν Χρηστόν, οὐδὲν ὠφέλησεν, οὐδὲ τὰ πέντε καὶ ἑβδομήκοντα ἔτη, ἅπερ οὖν διεβίωσεν οὐδὲν ἀδικήσας τοὺς Ἀθηναίους. Ἐπεὶ δὲ ἔδοξεν Ἀντιπάτρῳ τὸν Πειραιᾶ προδιδόναι, Ἀθηναῖοι κατέγνωσαν αὐτοῦ θάνατον. —

11. Anspruchslosigkeit des Platon.

Πλάτων ὁ Ἀρίστωνος ἐν Ὀλυμπίᾳ συνεσκήνωσεν[1]) ἀγνῶσιν ἀνθρώποις, καὶ αὐτὸς ὢν αὐτοῖς ἀγνώς. Οὕτω δὲ αὐτοὺς ἐχειρώσατο καὶ ἀνεδήσατο τῇ συνουσίᾳ, συνεστιώμενός τε αὐτοῖς ἀφελῶς καὶ συνδιημερεύων ἐν πᾶσιν, ὥστε ὑπερησθῆναι τοὺς ξένους τῇ τοῦ ἀνδρὸς συντυχίᾳ. Οὔτε δὲ Ἀκαδημίας ἐμέμνητο, οὔτε Σωκράτους. Αὐτό γε μὴν τοῦτο ἐνεφάνισεν αὐτοῖς, ὅτι καλεῖται Πλάτων. Ἐπεὶ δὲ ἦλθον εἰς τὰς Ἀθήνας, ὑπεδέξατο αὐτοὺς εὖ μάλα φιλοφρόνως. Καὶ οἱ ξένοι, Ἄγε, εἶπον, ὦ Πλάτων, ἐπίδειξον ἡμῖν καὶ τὸν ὁμώνυμόν σου τὸν Σωκράτους ὁμιλητήν, καὶ ἐπὶ τὴν Ἀκαδημίαν ἤγησαι τὴν ἐκείνου, καὶ ἐπισύσησον τῷ ἀνδρί, ἵνα τι καὶ αὐτοῦ ἀπολαύσωμεν. Ὁ δὲ ἡρέμα μειδιάσας, ὥσπερ οὖν καὶ εἰώθει, Ἀλλ' ἐγώ, φησίν, αὐτὸς ἐκεῖνός εἰμι. Οἱ δὲ ἐξεπλάγησαν, εἰ[2]) τὸν ἄνδρα

---

1) Zur Feier der olympischen Spiele versammelten sich alle vier Jahre viele Griechen in Olympia und lagerten sich dann unter Zelten. — 2) εἰ nach den Verb. „sich wundern" κ. = ὅτι, wie im Latein. si = quod.

ἔχοντες μεθ' ἑαυτῶν τὸν τοσοῦτον ἠγνόησαν, ἀτύφως αὐτοῦ συγγενομένου καὶ ἀνεπιτηδεύτως αὐτοῖς καὶ δείξαντος, ὅτι δύναται καὶ ἄνευ τῶν συνήθων λόγων χειροῦσθαι τοὺς συνόντας. —

12. Aechte Lernbegierde.

Ἐπεὶ ὁ Ἀντισθένης[1]) πολλοὺς προὔτρεπεν ἐπὶ φιλοσοφίαν, οἱ δὲ οὐδὲν αὐτῷ προσεῖχον, τέλος ἀγανακτήσας οὐδένα προσίετο. Καὶ Διογένην οὖν ἤλαυνεν ἀπὸ τῆς αὐτοῦ συνουσίας. Ἐπεὶ δὲ ἦν λιπαρέστερος[2]) ὁ Διογένης καὶ ἐνέκειτο, ἐνταῦθα ἤδη καὶ τῇ βακτηρίᾳ καθίξεσθαι[3]) αὐτοῦ ἠπείλει· καί ποτε καὶ ἔπαισε κατὰ τῆς κεφαλῆς. Ὁ δὲ οὐκ ἀπηλλάττετο, ἀλλ' ἔτι μᾶλλον ἐνέκειτο φιλοπόνως, ἀκούειν αὐτοῦ διψῶν, καὶ ἔλεγε· Σὺ μὲν παῖε, εἰ βούλει, ἐγὼ δὲ ὑποθήσω τὴν κεφαλήν, καὶ οὐκ ἂν οὕτως ἐξεύροις[4]) βακτηρίαν σκληράν, ὥστε με ἀπελάσαι[5]) τῶν διατριβῶν τῶν σῶν. Ὁ δὲ ὑπερησπάσατο αὐτόν. —

13. Seltne Freundschaft.

Διονυσίου τυραννοῦντος Φιντίας τις Πυθαγόρειος, ἐπιβεβουλευκὼς τῷ τυράννῳ, μέλλων δὲ τῆς τιμωρίας τυγχάνειν, ᾐτήσατο παρὰ τοῦ Διονυσίου χρόνον εἰς τὸ[6]) περὶ τῶν ἰδίων πρότερον, ἃ βούλεται, διοικῆσαι· δώσειν δ' ἔφησεν ἐγγυητὴν τοῦ θανάτου τῶν φίλων ἕνα. Τοῦ δὲ δυνάστου θαυμάσαντος[7]), εἰ τοιοῦτός ἐστι φίλος, ὃς ἑαυτὸν εἰς τὴν εἱρκτὴν ἀντ' ἐκείνου παραδώσει, προεκαλέσατό τινα τῶν φίλων ὁ Φιντίας, Δάμονα

---

1) Stifter der cynischen Schule, ein Schüler des Sokrates. — 2) „zu eifrig" (als daß er sogleich gegangen wäre). — 3) καθικνέομαι. — 4) ἐξευρίσκω. — 5) ἀπελαύνω. — 6) der Artikel erhebt den folgenden Inf. διοικῆσαι zum Subst. — 7) — als er sich wunderte d. h. zweifelte.

ὄνομα, Πυθαγόρειον φιλόσοφον, ὃς εὐθὺς ἐγγυητὴς ἐγένετο θανάτου. Οἱ μὲν οὖν ἐπῄνουν τὴν ὑπερβολὴν τῆς πρὸς τὸν φίλον εὐνοίας· οἱ δὲ τοῦ ἐγγυητοῦ προπέτειαν καὶ μανίαν κατεγίγνωσκον. Πρὸς δὲ τὴν τεταγμένην ὥραν ἅπας ὁ δῆμος συνέδραμε καραδοκῶν, εἰ φυλάξει τὴν πίστιν ὁ καταστήσας [1]). Ἤδη δὲ τῆς ὥρας συγκλειούσης, πάντες μὲν ἀπέγνωσαν· ὁ δὲ Φιντίας ἀνελπίστως ἐπὶ τῆς ἐσχάτης τοῦ χρόνου δρπῆς δρομαῖος ἦλθε, τοῦ Δάμωνος ἀπαγομένου πρὸς τὴν ἀνάγκην. Θαυμαστῆς δὲ τῆς φιλίας φανείσης ἅπασιν, ἀπέλυσεν ὁ Διονύσιος τῆς τιμωρίας τὸν ἐγκαλούμενον, καὶ παρεκάλεσε τοὺς ἄνδρας, τρίτον αὐτὸν εἰς τὴν φιλίαν προσλαβέσθαι.

14. Belohnte Genügsamkeit und bestrafte Habsucht.

Ξυλευόμενός τις παρὰ τῷ ποταμῷ τὸν πέλεκυν ἀπέβαλεν· ἀμηχανῶν τοίνυν παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. Ἑρμῆς δὲ μαθὼν τὴν αἰτίαν καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμόν, ἀργυροῦν ἀνήνεγκε [2]) πέλεκυν καί, εἰ οὗτός ἐστιν, ὃν ἀπώλεσεν [3]), ἤρετο. Τοῦ δέ, μὴ τοῦτον εἶναι, φαμένου, αὖθις καταβὰς [4]) χρυσοῦν ἀνεκόμισε. Τοῦ δέ, μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον, εἰπόντος, ἐκ τρίτου καταβάς, ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δέ, τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα [3]) φαμένου, Ἑρμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, ἅπαντας αὐτῷ ἐδωρήσατο. Ὁ δὲ παραγενόμενος πάντα τοῖς ἑταίροις τὰ συμβάντα [5]) διεξῆλθεν [6]). Ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο, καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα, κλαίων ἐκάθητο. Ἐπιφανεὶς οὖν ὁ Ἑρμῆς κἀκείνῳ καὶ

---

1) sc. τὸν ἐγγυητήν. — 2) ἀναφέρω. — 3) ἀπόλλυμι. — 4) καταβαίνω. — 5) συμβαίνω. — 6) διεξέρχεσθαι. —

τὴν αἰτίαν μαθὼν [1]) τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκε καὶ ἤρετο, εἰ ταύτην ἀπέβαλε. Τοῦ δὲ σὺν ἡδονῇ, Ναί, ἀληθῶς ἦδ' ἐστί, φήσαντος, μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ' οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν. —

III. Geschichtliche Helden der Griechen.

1. Vaterlandsliebe des Kodrus.

Ἀθηναίοις καὶ Πελοποννησίοις πόλεμος ἦν. Ὁ δὲ θεὸς ἔχρησε, νικᾶν Ἀθηναίους, εἰ ὁ βασιλεὺς αὐτῶν ἀποθάνοι [2]) ὑπ' ἀνδρὸς Πελοποννησίου· ἦν δὲ τότε βασιλεὺς Ἀθηναίων Κόδρος. Τοῖς οὖν πολεμίοις τὸ λόγιον εἰδόσι κοινὸν ἦν παράγγελμα ἐν ταῖς μάχαις ἀπέχεσθαι Κόδρου. Ὁ δὲ (ἦν γὰρ ἐσπέρα) σχῆμα φρυγανιστῆρος λαβών, τοῦ χάρακος [3]) προελθών, ἔτεμνε τὴν ὕλην. Ἔτυχον [4]) δὲ καὶ Πελοποννήσιοι ἄνδρες μετὰ φρυγανισμὸν ἥκοντες· τούτοις μάχεται Κόδρος, ὥστε καὶ τὸ δρέπανον ἐπ' αὐτοὺς ἀνατεινάμενος ἔτρωσέ τινα αὐτῶν. Οἱ δὲ φθάσαντες κατακτείνουσιν αὐτὸν τοῖς δρεπάνοις καὶ ἡδόμενοι ἀπηλλάγησαν, ὡς δὴ ἀγαθόν τι πεποιηκότες. Τηνικαῦτα παιανίσαντες οἱ Ἀθηναῖοι, ὡς τοῦ λογίου τετελεσμένου, θυμῷ καὶ ῥώμῃ πλείονι πορεύονται ἐς μάχην, καὶ πρὸ τῆς μάχης κήρυκα πέμψαντες ᾔτησαν ἀναίρεσιν τοῦ βασιλέως. Οἱ οὖν Πελοποννήσιοι, συνέντες τὸ γεγονός, ἔφυγον. —

2. Sieg der Athener bei Marathon.

Δαρεῖος ὁ Περσῶν βασιλεὺς μετὰ τριάκοντα μυ-

1) μανθάνω — 2) ἀποθνήσκω. — 3) Der Genit. des Orts, woher, von προελθών regiert. — 4) S. p. 125. Anm. 4.

ριάδων ἐν Μαραθῶνι ἐστρατοπεδεύσατο [1]), Ἀθηναῖοι δὲ ἐννακισχιλίους ἔπεμψαν μετὰ χιλίων Πλαταιέων, στρατηγοὺς αὐτοῖς δόντες Πολύζηλον, Καλλίμαχον, Κυνέγειρον, Μιλτιάδην. Συμβληθείσης δὲ τῆς παρατάξεως, τὸ μὲν μέσον ἐνίκων οἱ βάρβαροι, καὶ ῥήξαντες ἐδίωκον ἐς τὴν μεσόγαιαν· τὸ δὲ κέρας ἑκάτερον ἐνίκων Ἀθηναῖοί τε καὶ Πλαταιεῖς. Νικῶντες δὲ τὸ μὲν τεταγμένον τῶν βαρβάρων φεύγειν εἶων, τοῖς δὲ το μέσον ῥήξασιν αὐτῶν συναγαγόντες τὰ κέρα ἀμφότερα ἐμάχοντο, καὶ ἐνίκων. Φεύγουσι δὲ τοῖς Πέρσαις εἵποντο κόπτοντες, ἕως ἐπὶ τὴν θάλασσαν ἀφικόμενοι ἐπελαμβάνοντο τῶν νεῶν. — Τῶν Ἀθηναίων Πολύζηλος μέν, ὑπὲρ ἄνθρωπον φαντασίαν θεασάμενος, τὴν ὅρασιν ἀπέβαλε, καὶ τυφλὸς ὢν ἀνεῖλε τεσσαράκοντα καὶ ὀκτώ· Καλλίμαχος δέ, ἀνὴρ γενόμενος ἀγαθός, πολλοῖς πεπαρμένος δόρασιν, διεφθάρη· Κυνέγειρος δέ, ἐπιλαβόμενος τῶν ἀφλάστων νεὼς ἀναγομένης, ἀμφοτέρας τὰς χεῖρας [2]) ἀποκοπεὶς πελέκει ἔπεσε· τοῦ δὲ Μιλτιάδου ἡ δόξα κατὰ πᾶσαν τὴν Ἑλλάδα διεβοήθη.

3. Leonidas und seine dreihundert Spartaner.

Περσῶν μετὰ πεντακοσίων μυριάδων ἐπὶ τὴν Ἑλλάδα φερομένων, Λακεδαιμόνιοι τριακοσίους εἰς Θερμοπύλας ἔπεμψαν, στρατηγὸν αὐτοῖς δόντες Λεωνίδαν. Λέγονταί τινες, ἀπὸ τῶν ὑστευμάτων τῶν βαρβάρων οὐδὲ τὸν ἥλιον ἰδεῖν ἔστιν [3]), Οὐκοῦν, ἔφη, χαρίεν, εἰ ὑπὸ σκιὰν αὐτοῖς μαχεσόμεθα; — Μετὰ δὲ ταῦτα μετὰ Τραχινίου [4]) τινὸς Πέρσαι δισμύριοι περιελθόντες τὰς δυσχωρίας ἄφνω τοὺς περὶ τὸν Λεωνίδαν ἀνέλα-

---

1) d. h. durch seine Feldherrn Datis und Artaphernes. — 2) Acc. der näheren Bestimmung. — 3) = ἔξεστιν. — 4) Nachdem mehrere Angriffe der Perser auf den Engpaß von Thermopylä von den Grie-

βον εἰς τὸ μέσον, οἱ δὲ Λακεδαιμόνιοι τὴν σωτηρίαν ἀπογνόντες, τὴν δ'εὐδοξίαν ἑλόμενοι, μιᾷ φωνῇ τὸν ἡγούμενον ἠξίουν ἄγειν ἐπὶ τοὺς πολεμίους πρὶν ἢ γνῶναι τοὺς Πέρσας τὴν τῶν ἰδίων περίοδον. Λεωνίδας δὲ τὴν ἑτοιμότητα τῶν στρατιωτῶν ἀποδεξάμενος, τούτοις παρήγγειλε ταχέως ἀριστοποιεῖσθαι, ὡς ἐν Ἅιδου δειπνησομένους. Ἔπειτα δὲ νυκτὸς εἰςέπεσον εἰς τὴν τῶν Περσῶν στρατοπεδείαν ἡγουμένου τοῦ Λεωνίδου. Οἱ δὲ βάρβαροι διά τε τὸ παράδοξον καὶ τὴν ἄγνοιαν μετὰ πολλοῦ θορύβου συνέτρεχον ἐκ τῶν σκηνῶν ἀτάκτως, καὶ νομίσαντες, τοὺς μετὰ τοῦ Τραχινίου πορευομένους ἀπολωλέναι, καὶ τὴν δύναμιν ἅπασαν τῶν Ἑλλήνων παρεῖναι, κατεπλάγησαν. Διὸ καὶ πολλοὶ μὲν ὑπὸ τῶν περὶ τὸν Λεωνίδαν ἀνῃροῦντο, πλείους δὲ ὑπὸ τῶν ἰδίων ὡς ὑπὸ πολεμίων διὰ τὴν ἄγνοιαν ἀπώλοντο· ἥ τε γὰρ νὺξ ἀφῄρητο τὴν ἀλλθινὴν ἐπίγνωσιν, καὶ ἡ ταραχὴ καθ' ὅλην [1]) οὖσα τὴν στρατοπεδείαν εὐλόγως πολὺν ποίει φόνον. Ἔκτεινον γὰρ ἀλλήλους, οὐ διδούσης τῆς περιστάσεως τὸν ἐξετασμὸν ἀκριβῆ διὰ τὸ [2]) μήτε ἡγεμόνος παραγγελίαν μήτε συνθήματος ἐρώτησιν μήτε ὅλως διανοίας κατάστασιν ὑπάρχειν. Εἰ μὲν οὖν ὁ βασιλεὺς ἔμεινεν ἐπὶ τῆς βασιλικῆς σκηνῆς, ῥᾳδίως ἂν καὶ αὐτὸς ὑπὸ τῶν Ἑλλήνων ἀνῃρήτο [3]), καὶ ὁ πόλεμος ἅπας ταχείας ἂν ἐτετυχήκει καταλύσεως· ἀλλ' ὁ μὲν Ξέρξης ἦν ἐκπεπηδηκὼς πρὸς τὴν ταραχήν, οἱ δ' Ἕλληνες εἰςπεσόντες εἰς τὴν σκηνὴν τοὺς ἐγκαταλειφθέντας ἐν αὐτῇ σχεδὸν ἅπαντας ἐφόνευσαν. Τῆς δὲ νυκτὸς καθεστώσης ἐπλανῶντο καθ'

---

chen abgeschlagen waren, erbot sich ein Einwohner jener Gegend (aus Trachinia), einen Heerhaufen der Perser über Gebirgspfade den Griechen in den Rücken zu führen.

1) allgemein. — 2) zu verbinden mit ὑπάρχειν — weil. — 3) wenn X. geblieben wäre . . . so würde er . . . getödtet worden sein . . .

ὅλον τὸ στρατόπεδον ζητοῦντες τὸν Ξέρξην εὐλόγως· ἡμέρας δὲ γενομένης καὶ τῆς ὅλης περιστάσεως δηλωθείσης, οἱ μὲν Πέρσαι, θεωροῦντες ὀλίγους ὄντας τοὺς Ἕλληνας, κατεφρόνησαν αὐτῶν, καὶ κατὰ στόμα*) μὲν οὐ συνεπλέκοντο, φοβούμενοι τὰς ἀρετὰς αὐτῶν, ἐκ δὲ τῶν πλαγίων καὶ ἐξόπισθεν περιστάμενοι καὶ παντα-χόθεν τοξεύοντες καὶ ἀκοντίζοντες ἅπαντας ἀπέκτειναν.

Οἱ οὖν μετὰ Λεωνίδου τὰς ἐν Θερμοπύλαις παρόδους τηροῦντες τοιοῦτον ἔσχον τοῦ βίου τὸ τέλος· ὧν τὰς ἀρετὰς τίς οὐκ ἂν θαυμάσειεν; οἵ τινες μιᾷ γνώμῃ χρησάμενοι τὴν μὲν ἀφωρισμένην τάξιν ὑπὸ τῆς Ἑλλάδος οὐκ ἔλιπον, τὸν ἑαυτῶν δὲ βίον προθύμως ἐπέδωκαν εἰς τὴν κοινὴν τῶν Ἑλλήνων σωτηρίαν, καὶ μᾶλλον εἵλοντο τελευτᾶν καλῶς ἢ ζῆν αἰσχρῶς. —

4. Der Athener Agesilaus.

Ξέρξης, μετὰ πεντακοσίων μυριάδων Ἀρτεμισίῳ προσορμίσας, πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν· Ἀθηναῖοι δὲ συγκεχυμένοι κατάσκοπον ἔπεμψαν Ἀγησίλαον τὸν Θεμιστοκλέους ἀδελφόν, καίπερ Νεοκλέους τοῦ πατρὸς αὐτοῦ κατ' ὄναρ ἑωρακότος ἀμφοτέρας ἀποβεβληκότα τὰς χεῖρας. Παραγενόμενος δὲ ὁ ἀνὴρ εἰς πλῆθος τῶν βαρβάρων ἐν σχήματι Περσικῷ, Μαρδώνιον ἕνα τῶν σωματοφυλάκων ἀνεῖλεν, ὑπολαβὼν Ξέρξην ὑπάρχειν· συλληφθεὶς δὲ ὑπὸ τῶν δορυφόρων πρὸς τὸν βασιλέα δεδεμένος ἤχθη. Θυσίαν ποιεῖσθαι δὲ τοῦ προειρημένου μέλλοντος, ἐπὶ τὸν βωμὸν τοῦ Ἡλίου δεξιὰν ἐπέθηκε χεῖρα, καὶ ἀστένακτος ὑπομείνας τὰς ὀδύνας ἐλευθερώθη τῶν δεσμῶν, εἰπών· Τοιοῦτοι πάντες ἐσμὲν Ἀθηναῖοι· εἰ δ' ἀπιστεῖς, καὶ τὴν ἀριστερὰν ἐπιθήσω. Φοβηθεὶς δ' ὁ Ξέρξης οὐ μὲν ἀπέκτεινε, φρουρεῖσθαι δὲ τὸν Ἀγησίλαον προσέταξεν. —

*) von vorn (in der Front).

5. Heldenmüthige Spartaner.

1. Λακεδαιμόνιοι καὶ Ἀργεῖοι περὶ χωρίου Θυραίας, ἐν μεθορίῳ κειμένης, μέχρι μέν τινος[1]) ὅλοις τοῖς στρατεύμασι παρετάσσοντο πρὸς ἀλλήλους, τέλος δ' ἔδοξεν αὐτοῖς ἐπιλέξαι παρ' ἑκατέρων τριακοσίους, κἀκείνων μαχεσαμένων τοῖς κρατήσασιν διαφέρειν τὸ χωρίον· οὗπερ γενομένου, Ὀθρυάδης Λακεδαιμόνιος στρατιώτης, πολλοὺς ἀποκτείνας, καὶ πολλὰ[2]) τετρωμένος, ἔκειτο μεταξὺ τῶν ἀνηρημένων Λακεδαιμονίων μόνος περιλειφθείς, Ἀργείων δὲ δύο Ἀλκήνωρ καὶ Χρόμιος· ὧν ἀπελθόντων εἰς Ἄργος ἀπαγγεῖλαι[3]) τὴν νίκην, Ὀθρυάδης πολλοὺς σκυλεύσας τῶν πολεμίων τρόπαιον ἔστησε, καὶ χρησάμενος τῷ τῶν τραυμάτων αἵματι, ἐπέγραψε, Λακεδαιμόνιοι κατ' Ἀργείων· καὶ τοῦτο πράξας ἀπέθανεν. —

2. Λοιμοῦ κατασχόντος τὴν Λακεδαίμονα διὰ τὴν ἀναίρεσιν τῶν κηρύκων τῶν ἀπεσταλμένων παρὰ Ξέρξου, αἰτοῦντος γῆν καὶ ὕδωρ, ὥσπερ ἀπαρχὰς δουλείας, χρησμὸς ἐδόθη, ἀπαλλαγήσεσθαι αὐτούς, εἴ γέ τινες ἕλοιντο Λακεδαιμονίων παρὰ τοῦ βασιλέως ἀναιρεθῆναι. Τότε Βούλης καὶ Σπέρχης ἀφικόμενοι ὡς βασιλέα ἠξίουν ἀναιρεθῆναι· ὁ δὲ θαυμάσας αὐτῶν τὴν ἀρετὴν ἐπανιέναι προσέταξεν. —

3. Οἱ Θηβαῖοι πείθουσι τὸν ἐν ταῖς Θεσπιαῖς ἁρμοστὴν[4]) Σφοδρίαν, χρήματα δόντες, ἐμβαλεῖν εἰς τὴν Ἀττικήν, ἵν' ἐκπολεμήσειε τοὺς Ἀθηναίους πρὸς τοὺς Λακεδαιμονίους. Κἀκεῖνος πειθόμενος αὐτοῖς βοσκήματα διήρπασε καὶ οἰκίας ἐπόρθησεν. Οἱ δ' ἔφοροι ἀνεκάλεσάν τε τὸν Σφοδρίαν καὶ ὑπῆγον θανάτου.

---

1) sc. χρόνου. — 2) Adverbial zu fassen. — 3) Nach den Verb. der Bewegung bezeichnet der bloße Inf. die Absicht. — 4) Vor der Schlacht bei Leuktra hatten die Spartaner große Gewalt in Böotien; wo sie diese hatten, setzten sie Harmosten ein.

Ἦν δὲ υἱὸς τῷ Σφοδρίᾳ, Κλεώνυμος ὄνομα, κάλλιστός τε καὶ εὐδοκιμώτατος τῶν ἡλίκων. Τούτου δὲ ἐρῶν ἐτύγχανεν [1]) Ἀρχίδαμος ὁ Ἀγησιλάου. Καὶ ὁ μὲν Σφοδρίας εἶπε πρὸς τὸν Κλεώνυμον· Ἔξεστί σοι, ὦ υἱέ, σῶσαι τὸν πατέρα, δεηθέντι Ἀρχιδάμου, εὐμενῆ Ἀγησίλαον ἐμοὶ εἰς τὴν κρίσιν παρασχεῖν. Ὁ δὲ ἀκούσας ἐτόλμησεν ἐλθεῖν πρὸς τὸν Ἀρχίδαμον καὶ ἐδεῖτο σωτῆρα αὐτῷ τοῦ πατρὸς γενέσθαι. Ὁ δὲ ἰδὼν μὲν τὸν Κλεώνυμον κλαίοντα, συνεδάκρυε παρεστώς· ἀκούσας δὲ δεομένου ἀπεκρίνατο· Ἀλλ' ὦ Κλεώνυμε, ἴσθι ὅτι ἐγὼ μὲν τῷ ἐμῷ πατρὶ οὐδ' ἀντιβλέπειν δύναμαι, ἀλλά, κἂν τι βούλωμαι διαπράξασθαι ἐν τῇ πόλει, πάντων μᾶλλον, ἢ τοῦ πατρός, δέομαι· ὅμως δ' ἐπεὶ σὺ κελεύεις, νόμιζε, πᾶσάν με προθυμίαν συνέξειν, ταῦτα σοι πραχθῆναι. Καὶ τότε μὲν δὴ εἰς τὸν οἶκον ἐλθὼν ἀνεπαύετο· τοῦ δ' ὄρθρου ἀναστὰς ἐφύλαττεν. Ἐπεὶ δὲ εἶδε τὸν πατέρα ἐξιόντα, πρῶτον μέν, εἴ τις τῶν πολιτῶν παρῆν, παρίει τούτους διαλέγεσθαι αὐτῷ· ἔπειτα δ' εἴ τις ξένος [2])· τέλος μέντοι ἐτόλμησε προσελθεῖν καὶ εἰπεῖν· Ὦ πάτερ, Κλεώνυμός με κελεύει σοῦ δεηθῆναι, σῶσαι αὐτῷ τὸν πατέρα· καὶ ἐγὼ ταὐτά σου δέομαι, εἰ δυνατόν. Ἀλλ' ὅτι μέν, ὦ πάτερ, εἰ μηδὲν ἠδίκει Σφοδρίας, ἀπέλυσας ἂν αὐτόν [3]), οἶδα· νῦν δέ, εἰ ἠδίκηκέ τι, ἡμῶν ἕνεκα συγγνώμην παρὰ σοῦ τυχέτω. Ὁ δ' εἶπεν· Ἂν μέλλῃ καλὰ ταῦθ' ἡμῖν εἶναι, οὕτως ἔσται. Ὁ μὲν δὴ ταῦτα ἀκούσας, δύσελπις ὢν ἀπῄει. Ὕστερον δὲ ὁ Ἀγησίλαος ἔλεξε, χαλεπὸν εἶναι τοιοῦτον ἄνδρα ἀποκτείνειν, ὅστις, παῖς τε ὢν καὶ παιδίσκος καὶ ἥβων, πάντα τὰ καλὰ ποιῶν διέτελεσε [1])· τὴν γὰρ Σπάρτην τοιούτων δεῖσθαι στρατιωτῶν. Τοιούτῳ μὲν δὴ τρόπῳ Σφοδρίας ἀπέ-

---

1) S. p. 125. Anm. 4. — 2) nämlich: ihn sprechen wollte. — 3) dieselbe Construction, wie p. 204. Anm. 3.

φυγεν. Ὁ δὲ Ἀρχίδαμος ἡσθεὶς εὐθὺς πρὸς τὸν Κλεώνυμον ἐλθὼν εἶπεν· Ὅτι μὲν ἡμῶν ἐπιμελῇ, ἤδη ἴσμεν· εὖ δὲ ἐπίστω, Ἀρχίδαμε, ὅτι καὶ ἡμεῖς πειρασόμεθα ἐπιμελεῖσθαι, ὡς μήποτε σὺ ἐπὶ τῇ ἡμετέρᾳ φιλίᾳ αἰσχυνθῇς. Καὶ οὐκ ἐψεύσατο, ἀλλὰ καὶ ζῶν ἅπαντ' ἐποίει, ὅσα καλὰ ἐν τῇ Σπάρτῃ, καὶ ἐν Λεύκτροις πρὸ τοῦ βασιλέως μαχόμενος σὺν Λείνωνι τῷ πολεμάρχῳ, προσπεσὼν πρῶτος τῶν πολιτῶν, ἐν μέσοις τοῖς πολεμίοις ἀπέθανε καὶ ἡνίασεν ἐς τὰ ἔσχατα τὸν Ἀρχίδαμον. —

6. Timoleons Bruder- und Vaterlandsliebe.

Ἐν τῇ πρὸς Ἀργείους καὶ Κλεωναίους μάχῃ [1]) τῶν Κορινθίων ὁ μὲν Τιμολέων ἔτυχεν ἐν τοῖς ὁπλίταις τεταγμένος, Τιμοφάνης δὲ ὁ ἀδελφὸς αὐτοῦ τῶν ἱππέων ἡγήσατο. Τοῦτον οὖν μαχόμενον καταλαμβάνει κίνδυνος ὀξύς· ὁ γὰρ ἵππος πληγῇ περιπεσὼν αὐτὸν ἀπεσείσατο εἰς τοὺς πολεμίους, καὶ τῶν ἑταίρων οἱ μὲν εὐθὺς διεσκεδάσθησαν φοβηθέντες, οἱ δὲ παραμείναντες ὀλίγοι πρὸς πολλοὺς μαχόμενοι χαλεπῶς ἀντεῖχον. Ὡς οὖν Τιμολέων κατεῖδε τὸ συμβεβηκός, δρόμῳ προσβοηθήσας καὶ τὴν ἀσπίδα τοῦ [2]) Τιμοφάνους κειμένου προθέμενος, καὶ πολλὰ μὲν ἀκοντίσματα, πολλὰς δὲ πληγὰς ἐκ χειρὸς ἀναδεξάμενος εἰς τὸ σῶμα καὶ τὰ ὅπλα, μόλις ἐώσατο τοὺς πολεμίους καὶ διέσωσε τὸν ἀδελφόν. — Ὕστερον δ' ἐπεὶ οἱ Κορίνθιοι δεδιότες, μὴ πάθοιεν, οἷα καὶ πρότερον ὑπὸ τῶν συμμάχων ἀποβαλόντες τὴν πόλιν [3]), ἐψηφίσαντο τρέφειν ξένους τετρακοσίους, τούτων ἄρχοντα Τιμοφάνην κατέ-

---

1) Die Kämpfe um Korinth und in dieser Stadt selbst dauerten etwa von 394 bis zum Frieden des Antalkidas 387 vor Chr. — 2) der Gen. hängt ab von προθέμενος. — 3) durch die Argiver und Kleonäer, denen sich eine Partei in Korinth angeschlossen hatte.

στησαν. Ὁ δὲ τῶν καλῶν καὶ δικαίων ὑπεριδὼν [1]) εὐθέως ἐπέραινεν ἐξ ὧν [2]) ποιήσεται τὴν πόλιν ὑφ' αὑτῷ, καὶ συχνοὺς ἀνελὼν ἀκρίτους τῶν πρώτων πολιτῶν ἀνέδειξεν αὐτὸς ἑαυτὸν τύραννον. Βαρέως δὲ φέρων ὁ Τιμολέων καὶ συμφορὰν ποιούμενος ἑαυτοῦ τὴν ἐκείνου κακίαν ἐπεχείρησε μὲν αὐτῷ διαλέγεσθαι καὶ παρακαλεῖν, ἀφέντα τὴν μανίαν καὶ δυστυχίαν τῆς ἐπιθυμίας ἐκείνης, ζητεῖν τινα τῶν ἡμαρτημένων ἐπανόρθωσιν πρὸς τοὺς πολίτας, ἀπωσαμένου δ' ἐκείνου καὶ καταφρονήσαντος· οὕτω [3]) παραλαβὼν τῶν μὲν οἰκείων Αἰσχύλον, ἀδελφὸν ὄντα τῆς Τιμοφάνους γυναικός, τῶν δὲ φίλων Σάτυρον τὸν μάντιν, καὶ διαλιπὼν ἡμέρας ὀλίγας αὖθις ἀνέβη [4]) πρὸς τὸν ἀδελφόν. Καὶ περιστάντες αὐτὸν οἱ τρεῖς καθικέτευον, ἀλλὰ νῦν γε [5]) χρησάμενον λογισμῷ μεταβαλέσθαι. Τοῦ δὲ Τιμοφάνους πρῶτον μὲν αὐτῶν καταγελῶντος, ἔπειτα δὲ πρὸς ὀργὴν ἐκφερομένου καὶ χαλεπαίνοντος, ὁ μὲν Τιμολέων ἀποχωρήσας μικρὸν αὐτοῦ καὶ συγκαλυψάμενος εἱστήκει δακρύων, ἐκεῖνοι δὲ τὰ ξίφη σπασάμενοι ταχὺ διαφθείρουσιν αὐτόν. —

7. Alexander der Große.

Ἀλέξανδρος ὁ Φιλίππου τοὺς παρὰ τοῦ Περσῶν βασιλέως πρέσβεις ἥκοντας, ἀποδημοῦντος τοῦ πατρός, ξενίζων καὶ γενόμενος συνήθης, οὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ καὶ τῷ [6]) μηδὲν ἐρώτημα παιδικὸν ἐρωτῆσαι [6]) μηδὲ μικρόν, ἀλλ' ὁδῶν τε μήκη καὶ πορείαν τῆς ἄνω [7]) τρόπον ἐκπυνθάνεσθαι [6]), καὶ περὶ αὐτοῦ

1) ὑπεροράω, in der Bedeutung verachten, hintenanſetzen, regiert den Gen., ſonſt den Accuſ. — 2) ταῦτα (ſolche Dinge) ἐξ ὧν (durch welche). — 3) leitet nach einem längeren Vorderſatz den Nachſatz ein. — 4) hinauf zur Burg. — 5) doch jetzt wenigſtens. — 6) die Infinitive ſind mit τῷ zu verbinden: dadurch, daß. — 7) von der Küſte in das Innere hinauf.

βασιλέως, ὁποῖος εἴη πρὸς τοὺς πολεμίους [1]), καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις, ὥστε θαυμάζειν ἐκείνους καὶ τὴν λεγομένην [2]) Φιλίππου δεινότητα μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ μεγαλοπραγμοσύνην. —

Παρέλαβε δὲ ἔτη γεγονὼς εἴκοσι τὴν βασιλείαν, φθόνους μεγάλους καὶ δεινὰ μίση καὶ κινδύνους πανταχόθεν ἔχουσαν· οὔτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα γένη [3]) τὴν δούλωσιν ἔφερε, ποθοῦντα τὰς πατρίους βασιλείας, οὔτε τὴν Ἑλλάδα κρατήσας τοῖς ὅπλοις ὁ Φίλιππος ἀτρεμοῦσαν ἀπέλιπεν. Τὰ μὲν οὖν βαρβαρικὰ κινήματα καὶ τοὺς ἐκεῖ πολέμους κατέπαυσεν, ὀξέως ἐπιδραμὼν στρατῷ μέχρι πρὸς τὸν Ἴστρον. Θηβαίους δ' ἀφεστάναι πυθόμενος καὶ συμφρονεῖν αὐτοῖς Ἀθηναίους, εὐθὺς ἦγε διὰ Πυλῶν [4]) τὴν δύναμιν, εἰπών, ὅτι Δημοσθένει, παῖδα μὲν αὐτόν, ἕως ἦν ἐν Ἰλλυριοῖς καὶ Τριβαλλοῖς, ἀποκαλοῦνται, μειράκιον δὲ περὶ Θετταλίαν γενόμενον βούλεται πρὸς τοῖς Ἀθηναίοις τείχεσιν ἀνὴρ φανῆναι. Ἡ μὲν οὖν Θηβαίων πόλις ἑάλω [5]) καὶ διαρπασθεῖσα κατεσκάφη, προσδοκήσαντος αὐτοῦ, τοὺς Ἕλληνας ἐκπλαγέντας πάθει τοιούτῳ καὶ πτήξαντας ἀτρεμήσειν· Ἀθηναίοις δὲ διηλλάγη καὶ ἀφῆκεν αἰτίας πάσης. —

Ἀλέξανδρον ἐξ Ἐλαιοῦντος ἐς τὸν Ἀχαιῶν λιμένα κατᾶραι λέγουσι, καὶ αὐτόν τε κυβερνῶντα τὴν στρατηγίδα ναῦν διαβάλλειν καί, ἐπειδὴ κατὰ μέσον τὸν πόρον τοῦ Ἑλλησπόντου ἐγένετο, σφάξαντα ταῦρον τῷ Ποσειδῶνι καὶ Νηρηΐσι σπένδειν ἐκ χρυσῆς φιάλης ἐς τὸν πόντον. Καὶ πρῶτον ἐκ τῆς νεὼς σὺν τοῖς ὅπλοις ἐκβῆναι αὐτὸν ἐς τὴν γῆν τὴν Ἀσίαν καὶ βωμοὺς

---

1) d. h. in der Schlacht, im Kampf. — 2) die gerühmte. — 3) in Illyrien und Thrazien (z. B. die Triballer). — 4) Thermopylä. — 5) ἁλίσκομαι.

ἱδρύσασθαι, ὅθεν[1]) τε ἐστάλη ἐκ τῆς Εὐρώπης, καὶ ὅπου[1]) ἐξέβη τῆς Ἀσίας Διὸς ἀποβατηρίου καὶ Ἀθηνᾶς καὶ Ἡρακλέους· ἀνελθόντα δὲ ἐς Ἴλιον τῇ τε Ἀθηνᾷ θῦσαι τῇ Ἰλιάδι, καὶ τὴν πανοπλίαν τὴν αὐτοῦ ἀναθεῖναι ἐς τὸν νεών, καὶ καθελεῖν ἀντὶ ταύτης τῶν ἱερῶν τινα ὅπλων ἔτι ἐκ τοῦ Τρωϊκοῦ ἔργου σωζόμενα· καὶ ταῦτα λέγουσιν ὅτι οἱ ὑπασπισταὶ ἔφερον πρὸ αὐτοῦ ἐς τὰς μάχας. —

Ἵνα ἡ μάχη ἡ πρὸς Πῶρον, ἕνα τῶν Ἰνδῶν βασιλέα, ξυνέβη. καὶ ἔνθεν ὁρμηθεὶς ἐπέρασε τὸν Ὑδάσπην ποταμόν, πόλεις ἔκτισεν Ἀλέξανδρος· καὶ τὴν μὲν Νίκαιαν τῆς νίκης τῆς κατ' Ἰνδῶν ἐπώνυμον ὠνόμασε, τὴν δὲ Βουκέφαλα ἐς τοῦ ἵππου τοῦ Βουκεφάλα τὴν μνήμην, ὃς ἀπέθανεν αὐτοῦ οὐ βληθεὶς πρὸς οὐδενός, ἀλλ' ὑπὸ καμάτου τε καὶ ἡλικίας· ἦν γὰρ ἀμφὶ τὰ τριάκοντα ἔτη, πολλὰ δὲ πρόσθεν ξυγκαμών τε καὶ ξυγκινδυνεύσας Ἀλεξάνδρῳ, ἀναβαινόμενός τε πρὸς μόνου Ἀλεξάνδρου ὁ Βουκεφάλας οὗτος, ὅτι τοὺς ἄλλους πάντας ἀπῃξίου ἀναβάτας, καὶ μεγέθει μέγας[2]) καὶ τῷ θυμῷ γενναῖος. Σημεῖον δέ οἱ ἦν βοὸς κεφαλὴ ἐγκεχαραγμένη, ἐφ' ὅτου λέγουσιν ὅτι καὶ τὸ ὄνομα τοῦτο ἔφερεν· οἱ δὲ λέγουσιν, ὅτι λευκὸν σῆμα εἶχεν ἐπὶ τῆς κεφαλῆς, μέλας ὢν αὐτός, ἐς βοὸς κεφαλὴν μάλιστα εἰκασμένον. Οὗτος ὁ ἵππος ἐν τῇ Οὐξίων χώρᾳ ἀφανὴς ἐγένετο Ἀλεξάνδρῳ, καὶ Ἀλέξανδρος προεκήρυξεν ἀνὰ τὴν χώραν πάντας ἀποκτενεῖν Οὐξίους, εἰ μὴ ἀπάξουσιν αὐτῷ τὸν ἵππον· καὶ ἀπῆχθη εὐθὺς ἐπὶ τῷ κηρύγματι· τοσήδε μὲν σπουδὴ Ἀλεξάνδρῳ ἀμφ' αὐτὸν ἦν, τόσος δὲ Ἀλεξάνδρου φόβος τοῖς βαρβάροις.

---

1) = ἔνθα, ὅθεν — ὅπου. — 2) von ausgezeichneter Größe.

IV. Erbauung der Mauern Athens durch Themistokles.

1. Ἀθῆναι τρόπῳ τοιῷδε περιετειχίσθησαν· ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης, νικηθέντες καὶ ναυσὶ [1]) καὶ πεζῷ [2]) ὑπὸ Ἑλλήνων, καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς Μυκάλην [3]) διεφθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν ἐπ' οἴκου, ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους· οἱ δὲ Ἀθηναῖοι, καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι, ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως [4]), ὑπομείναντες Σηστὸν ἐκολιόρκουν, Μήδων ἐχόντων· καὶ ἐπιχειμάσαντες εἷλον αὐτήν, ἐκλιπόντων τῶν βαρβάρων· καὶ μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις [5]). — 2. Ἀθηναίων δὲ τὸ κοινόν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο [6]) εὐθύς, ὅθεν [7]) ὑπεξέθεντο, παῖδας καὶ γυναῖκας καὶ τὴν περιοῦσαν κατασκευήν· καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο καὶ τὰ τείχη· τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει, καὶ οἰκίαι [8]) αἱ μὲν πολλαὶ ἐπεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν. — 3. Λακεδαιμόνιοι δὲ αἰσθό-

---

1) Bei Salamis. — 2) bei Platää. — 3) Vorgebirge in Jonien, bei dem 479 v. Chr. — gleichzeitig mit der Schlacht von Platää — die persische Flotte von der griechischen, besonders von der atheniſchen unter Xanthippus, geschlagen wurde. — 4) τῶν Περσῶν ἢ μεγάλου βασιλέως. — 5) ein jeglicher in seine Heimath (Stadt). — 6) wegen des in τὸ κοινόν liegenden Collectivbegriffs das Prädicat im Plur. — 7) die Athener hatten ihre Frauen und Kinder nebst ihrer ganzen beweglichen Habe nach Salamis, Trözene und den benachbarten Inseln hinübergeschafft. — 8) wenn von einem Ganzen die Theile sämmtlich angegeben werden, so wird es in den Nominativ gesetzt, statt in den Gen. (partit).

μενοι τὸ μέλλον [1]) ἦλθον πρεσβείᾳ [2]), τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτε ἐκείνους, μήτ' ἄλλον μηδένα τεῖχος ἔχοντα· τὸ δὲ πλέον, τῶν ξυμμάχων ἐξοτρυνόντων καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν [3]) τὸ πλῆθος, ὃ πρὶν οὐχ ὑπῆρχε, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν γενομένην. — 4. Ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον, ὅσοις ξυνειστήκει περίβολος, ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους· τὴν ἀληθῆ γνώμην οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ἀλλὰ φάσκοντες κελεύειν ταῦτα, ἵνα ὁ βάρβαρος, εἰ αὖθις ἐπέλθοι, μὴ ἔχοι [4]) ἀπ' ἐχυροῦ τινος τόπου, ὥςπερ νῦν ἐκ τῶν Θηβῶν [5]), ὁρμᾶσθαι· τήν τε Πελοπόννησον πᾶσιν ἔφασαν ἱκανὴν εἶναι ἀναχώρησίν τε καὶ ἀφορμήν. — 5. Οἱ δ' Ἀθηναῖοι, Θεμιστοκλέους γνώμῃ, τοὺς μὲν Λακεδαιμονίους ταῦτ' εἰπόντας, ἀποκρινάμενοι, ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν [6]) λέγουσιν, εὐθὺς ἀπήλλαξαν [7])· ἑαυτὸν δ' ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους [8]) πρέσβεις μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ' ἐπισχεῖν μέχρι τοσούτου, ἕως ἂν ἱκανὸν τὸ τεῖχος ἄρωσιν, ὥςτε ἀπομάχεσθαι, εἴ δέοι [9])· τειχίζειν δὲ πάντας παν-δημεὶ τοὺς ἐν τῇ πόλει, καὶ αὐτοὺς καὶ γυναῖκας καὶ παῖδας, φειδομένους μήτε ἰδίου [10]) μήτε δημοσίου οἰκοδομήματος, ὅθεν τις ὠφέλεια ἔσται ἐς τὸ ἔργον,

---

1) Das Vorhaben der Athener. — 2) kamen mit einer Gesandtschaft — nach einer den Griechen sehr gewöhnlichen Weise, für: sie schickten eine Gesandtschaft. — 3) τῶν Ἀθηναίων. — 4) = haberet = könnte. — 5) das sich den Persern unterworfen hatte. — 6) i. e. περὶ τούτων, ἅ etc. — 7) ist gleich als Prädicat zu οἱ Ἀθηναῖοι vorauszunehmen. — 8) ἑλομένους ist Appositi. zum Subject des Acc. c. Inf und regiert ἄλλους πρέσβεις als Object. — 9) im Fall der Noth. — 10) Genit. von φείδεσθαι regiert. —

ἀλλὰ καθαιροῦντας πάντα. — 6. Καὶ ὁ μέν, ταῦτα διδάξας καὶ ὑπειπών, τἆλλα [1]) ὅτι αὐτὸς τἀκεῖ πράξοι, ᾤχετο. Καὶ ἐς Λακεδαίμονα ἐλθὼν οὐ προσῄει πρὸς τὰς ἀρχάς, ἀλλὰ διῆγε [2]) καὶ προὐφασίζετο. Καὶ ὁπότε τις αὐτὸν ἔροιτο [3]) τῶν ἐν τέλει ὄντων, ὅ τι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινόν, ἔφη, τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι· προσδέχεσθαι μέντοι, ἐν τάχει ἥξειν [4]), καὶ θαυμάζειν, ὡς οὔπω πάρεισιν. — 7. Οἱ δὲ ἀκούοντες τῷ μὲν Θεμιστοκλεῖ ἐπείθοντο διὰ φιλίαν αὐτοῦ· τῶν δὲ ἄλλων [5]) ἀφικνουμένων καὶ σαφῶς κατηγορούντων, ὅτι τειχίζεταί τε καὶ ἤδη ὕψος λαμβάνει [6]), οὐκ εἶχον ὅπως χρὴ ἀπιστῆσαι. Γνοὺς δὲ ἐκεῖνος κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες χρησταὶ καὶ πιστῶς ἀπαγγελοῦσι σκεψάμενοι. — 8. Ἀποστέλλουσιν οὖν· καὶ περὶ αὐτῶν ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις κρύφα πέμπει [7]), κελεύων, ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν καὶ μὴ ἀφιέναι, πρὶν ἂν αὐτοὶ [8]) πάλιν κομισθῶσιν· (ἤδη γὰρ καὶ ἧκον αὐτῷ οἱ ξυμπρέσβεις, Ἀβρώνυχός τε ὁ Λυσικλέους, καὶ Ἀριστείδης ὁ Λυσιμάχου, ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος)· ἐφοβεῖτο γὰρ, μὴ οἱ Λακεδαιμόνιοι σφᾶς, ὁπότε σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν [9]). — 9. Ὅτε οὖν Ἀθηναῖοι

---

1) Das Uebrige, was dort (in Sparta) zu thun wäre. — 2) man kann ergänzen: τὸν χρόνον: er zögerte, tempus extraxit. — 3) der Optat. nach Conjunctionen der Zeit drückt die Wiederholung aus. — 4) Subj. ist τοὺς ξυμπρέσβεις. — 5) als aber (οἱ ἄλλοι ἀφικόμενοι) alle übrigen, welche kamen, sogar zuverlässig klagten — mit Unwillen anzeigten. — 6) aus τειχίζεται wird zu λαμβάνει leicht als Subj. ergänzt τὸ τεῖχος. — 7) wenn das Obj. aus dem Zusammenhange der Gedanken oder aus der grammat. Verbindung leicht ergänzt werden kann, läßt es der Grieche aus, so ist hier πνάς zu ergänzen. — 8) Themistokles und seine Amtsgenossen. — 9) Nach den Verb. des Fürchtens wird nach μή ebenso, wie in den Final-

τοὺς πρέσβεις, ὥςπερ ἐπεστάλη, κατεῖχον· καὶ ὁ Θεμιστοκλῆς ἐπελθὼν τοῖς Λακεδαιμονίοις ἐνταῦθα δὴ φανερῶς εἶπεν, ὅτι ἡ μὲν πόλις σφῶν τετείχισται ἤδη, ὥςτε ἱκανὴ εἶναι σώζειν τοὺς ἐνοικοῦντας· εἰ δέ τι βούλονται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι παρὰ σφᾶς [1]), ὡς πρὸς διαγιγνώσκοντας τὸ λοιπὸν ἰέναι τά τε σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά [2]). — 10. Τήν τε γὰρ πόλιν ὅτε ἐδόκει [3]) ἐκλιπεῖν ἄμεινον εἶναι, καὶ ἐς τὰς ναῦς ἐςβῆναι, ἄνευ ἐκείνων ἔφασαν [4]) γνόντες [5]) τολμῆσαι· ὁκεῖν οὖν σφίσι καὶ νῦν ἄμεινον εἶναι τὴν ἑαυτῶν πόλιν τεῖχος ἔχειν, καὶ ἰδίᾳ τοῖς πολίταις καὶ ἐς τοὺς πάντας ξυμμάχους [6]) ὠφελιμώτερον ἔσεσθαι. — 11. Οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς Ἀθηναίοις, (οὐδὲ γὰρ ἐπὶ κωλύμῃ [7]), ἀλλὰ γνώμης παραινέσει δῆθεν τῷ κοινῷ [8]) ἐπρεσβεύσαντο· ἅμα δὲ καὶ προσφιλεῖς ὄντες διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν ἐν τῷ τότε τὰ μάλιστα [9]) αὐτοῖς ἐτύγχανον) τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες [10]) ἀδήλως ἤχθοντο. Οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως. — 12. Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλί-

---

Sätzen, der Conj. der Haupttempora statt des Optativs (Conj. der Nebentempora) gesetzt.

1) Zu ihnen — den Athenern. — 2) abhängig von εἶπε: construire: τὸ λοιπὸν ἰέναι ὡς ꝛc. daß sie künftig zu ihnen kommen würden als zu Leuten, die selbst entscheiden könnten, was sowohl ihnen selbst, als der gemeinsamen Sache förderlich wäre. — 3) nämlich αὐτοῖς τοῖς Ἀθηναίοις. — 4) Themistokles und die übrigen Gesandten. — 5) nach eignem Entschlusse. — 6) ἐς = für = dem Dativ ohne Präpos. — 7) ἐπὶ c. Dat. bezeichnet die Veranlassung und so auch den Zweck. — 8) der Dativ für ἐς τὸ κοινόν scil. τῶν Ἀθηναίων = zu den Athenern. — Es kann auch der Dativ erklärt werden durch ὑπὲρ τοῦ κοινοῦ. — 9) gerade damals am meisten ihnen befreundet. — 10) „da sie ihren Zweck verfehlt hatten". —

γῳ χρόνῳ· καὶ δήλη ἡ οἰκοδομία ἔτι καὶ νῦν [1]) ἐστιν ὅτι κατὰ σπουδὴν ἐγένετο. Οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπόκεινται καὶ οὐ ξυνεργασμένων [2]) ἔστιν ἢ [3]), ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον· πολλαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν· μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως, καὶ διὰ τοῦτο πάντα ὁμοίως κινοῦντες [4]) ἠπείγοντο. —

V. Verrätherei und Tod des Pausanias [5]).

1. (Cap. 128). Ἐπειδὴ Παυσανίας ὁ Λακεδαιμόνιος τὸ πρῶτον μεταπεμφθεὶς ὑπὸ Σπαρτιατῶν ἀπὸ τῆς ἀρχῆς τῆς ἐν Ἑλλησπόντῳ καὶ κριθεὶς ὑπ' αὐτῶν, ἀπελύθη μὴ ἀδικεῖν, δημοσίᾳ μὲν οὐκέτι ἐξεπέμφθη, ἰδίᾳ δὲ αὐτὸς τριήρη λαβὼν Ἑρμιονίδα ἄνευ Λακεδαιμονίων ἀφικνεῖται ἐς Ἑλλήσποντον, τῷ μὲν λόγῳ ἐπὶ τὸν Ἑλληνικὸν πόλεμον, τῷ δὲ ἔργῳ τὰ πρὸς βασιλέα πράγματα πράσσειν [6]), ὥσπερ καὶ τὸ πρῶτον ἐπεχείρησεν, ἐφιέμενος τῆς Ἑλληνικῆς ἀρχῆς. — 2. Εὐεργεσίαν δὲ ἀπὸ τοῦδε πρῶτον ἐς βασιλέα κατέθετο καὶ τοῦ παντὸς πράγματος ἀρχὴν ἐποιήσατο. Βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ παρουσίᾳ μετὰ τὴν ἐκ κύπρου ἀναχώρησιν, βασιλέως προσήκοντάς τινας καὶ ξυγγενεῖς ἔλαβε· τότε δὲ τούτους ἀποπέμπει [7]) βασιλεῖ κρύφα τῶν ἄλλων ξυμμάχων· τῷ δὲ λόγῳ ἀπέδρασαν αὐτόν.

---

1) Als Thukydides dies schrieb — vor dem Ende des peloponnesischen Krieges. — 2) so bearbeitete, daß sie mit andern zusammenpaßten, wenn auch nicht gerade quadratförmig. — Zu bemerken ist übrigens der passive Gebrauch mancher Formen (besonders der Participien) von Verbis deponentibus — ebenso εἰργασμένοι; vgl. Gr. § 74, 4. Buttm. gr. Gr. §. 113. Anm. 6. — 3) d. h. an einigen Stellen, vergl. Buttm. §. 150. p. 446. — 4) dasselbe, was oben „φειδομένους μήτε ἰδίου μήτε δημοσίου". — 5) Thucyd. I. c. 128 — 134. — 6) Der bloße Infinitiv bezeichnet bei Verb. der Bewegung den Zweck. — 7) Praes. histor., das in der Erzählung öfter mit dem Aor. wechselt.

Ἔπρασσε δὲ ταῦτα μετὰ Γογγύλου τοῦ Ἐρετριέως, ὃν περ ἐπέτρεψε τότε Βυζάντιον καὶ τοὺς αἰχμαλώτους. — 3. Ἔπεμψε δὲ καὶ ἐπιστολὴν τὸν Γόγγυλον φέροντα αὐτῷ· ἐνεγέγραπτο δὲ τάδε ἐν αὐτῇ ὡς ὕστερον ἀνευρέθη· „Παυσανίας ὁ ἡγεμὼν τῆς Σπάρτης τούσδε τέ σοι χαρίζεσθαι βουλόμενος ἀποπέμπει δόρατι ἑλών· καὶ γνώμην ποιοῦμαι, εἰ καὶ σοὶ δοκεῖ, θυγατέρα τε τὴν σὴν γῆμαι, καί σοι Σπάρτην καὶ τὴν ἄλλην Ἑλλάδα ὑποχείριον ποιῆσαι. Δυνατὸς δὲ δοκῶ εἶναι ταῦτα πρᾶξαι, μετὰ σοῦ βουλευόμενος· εἰ οὖν τί σε τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλασσαν, δι' οὗ τὸ λοιπὸν τοὺς λόγους ποιησόμεθα.“ —

4. (Cap. 129). Τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου· Ξέρξης δὲ ἥσθη τε τῇ ἐπιστολῇ καὶ ἀποστέλλει Ἀρτάβαζον τὸν Φαρνάκου ἐπὶ θάλασσαν, καὶ κελεύει αὐτὸν τήν τε Δασκυλῖτιν [1]) σατραπείαν παραλαβεῖν, Μεγαβάτην ἀπαλλάξαντα, ὃς πρότερον ἦρχεν· καὶ παρὸ Παυσανίαν ἐς Βυζάντιον ἐπιστολὴν ἀντεπετίθει αὐτῷ ὡς τάχιστα διαπέμψαι καὶ τὴν σφραγῖδα ἀποδεῖξαι, καὶ ἤν τι αὐτῷ Παυσανίας παραγγέλλῃ περὶ τῶν ἑαυτοῦ πραγμάτων, πράσσειν ὡς ἄριστα καὶ πιστότατα. — 5. Ὁ δὲ ἀφικόμενος τά τε ἄλλα ἐποίησεν, ὥσπερ εἴρητο, καὶ τὴν ἐπιστολὴν διέπεμψεν· ἀντεγέγραπτο δὲ τάδε· Ὧδε λέγει βασιλεὺς Ξέρξης Παυσανίᾳ· Καὶ τῶν ἀνδρῶν οὕς μοι πέραν θαλάσσης ἐκ Βυζαντίου ἔσωσας, κεῖταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἐς ἀεὶ ἀνάγραπτος [2]), καὶ τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἀρέσκομαι.

1) Die eine von den beiden Satrapien, in welche das diesseitige Asien eingetheilt war; sie hatte ihren Namen von der bithynischen Stadt Daskylion und umfaßte Bithynien und Phrygien. Die andere Satrapie war Lydien, wozu Jonien und Doris gerechnet wurden. — 2) Es war persische Sitte, die Namen derer, die sich um den König oder sein Reich wohl verdient gemacht hatten, in die königlichen Listen oder Bücher einzutragen. vgl. Herod 8, 85. Diod. Sic. 15, 12 und 2, 32

Καί σε μήτε νὺξ μήθ' ἡμέρα ἐπισχέτω, ὥστε ἀνεῖναι πράσσειν τι ὧν ἐμοὶ ὑπισχνῇ, μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνῃ κεκωλύσθω[1]*, μηδὲ στρατιᾶς πλήθει, ἐῖ ποι δεῖ παραγίγνεσθαι· ἀλλὰ μετ' Ἀρταβάζου ἀνδρὸς ἀγαθοῦ, ὃν σοι ἔπεμψα, πρᾶσσε θαρσῶν καὶ τὰ ἐμὰ καὶ τὰ σά, ὅπῃ κάλλιστα καὶ ἄριστα ἕξει ἀμφοτέροις.“ —*

6. (Cap. 130). *Ταῦτα λαβὼν ὁ Παυσανίας τὰ γράμματα, ὧν καὶ πρότερον ἐν μεγάλῳ ἀξιώματι ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν Πλαταιᾶσιν ἡγεμονίαν, πολλῷ τότε μᾶλλον ἦρτο, καὶ οὐκέτι ἠδύνατο ἐν τῷ καθεστηκότι*[2] *τρόπῳ βιοτεύειν, ἀλλὰ σκευάς τε Μηδικὰς ἐνδυόμενος ἐκ τοῦ Βυζαντίου ἐξῄει, καὶ διὰ τῆς Θρᾴκης πορευόμενον αὐτὸν Μῆδοι καὶ Αἰγύπτιοι ἐδορυφόρουν, τράπεζάν τε Περσικὴν παρετίθετο, καὶ κατέχειν τὴν διάνοιαν οὐκ ἠδύνατο, ἀλλ' ἔργοις βραχέσι προὐδήλου, ἃ τῇ γνώμῃ μειζόνως ἐς ἔπειτα ἔμελλε πράξειν. — 7. Ἀυςπρόςοδόν τε αὐτὸν παρεῖχε, καὶ τῇ ὀργῇ*[3] *οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας ὁμοίως, ὥστε μηδένα δύνασθαι προςιέναι· διόπερ καὶ πρὸς τοὺς Ἀθηναίους οὐχ ἥκιστα ἡ ξυμμαχία μετέστη. —*

8. (Cap. 131). *Οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι τό τε πρῶτον δι' αὐτὰ ταῦτα ἀνεκάλεσαν αὐτόν, καὶ ἐπειδὴ τῇ Ἑρμιονίδι νηῒ τὸ δεύτερον ἐκπλεύσας οὐ κελευσάντων αὐτῶν τοιαῦτα ἐφαίνετο ποιῶν, καὶ ἐκ Βυζαντίου βίᾳ ὑπ' Ἀθηναίων ἐκπολιορκηθεὶς ἐς μὲν τὴν Σπάρτην οὐκ ἐπανεχώρει, ἐς δὲ Κολωνὰς τὰς Τρῳάδας ἱδρυθείς, πράσσων τε ἐξηγγέλλετο αὐτοῖς πρὸς τοὺς βαρβάρους καὶ οὐκ ἐπ' ἀγαθῷ τὴν μονὴν ποιούμενος, οὕτω δὴ οὐκέτι ἐπέσχον, ἀλλὰ πέμψαντες κήρυκα καὶ σκυτάλην οἱ ἔφοροι εἶπον τοῦ κήρυκος μὴ λείπεσθαι*[4]*,*

---

1) Das Subject iſt aus dem Vorhergehenden zu entnehmen: „*ἃ ὧν ἐμοὶ ὑπισχνῇ*“. — 2) nach helleniſcher und namentlich ſpartaniſcher Sitte. — 3) Geſinnung. — 4) Subj. iſt Pauſanias. —

εἰ δὲ μή, πόλεμον αὐτῷ Σπαρτιάτας προαγορεύειν. — 9. Ὁ δὲ βουλόμενος ὡς ἥκιστα ὕποπτος εἶναι καὶ πιστεύων χρήμασι διαλύσειν τὴν διαβολὴν ἀνεχώρει τὸ δεύτερον ἐς Σπάρτην. Καὶ ἐς μὲν τὴν εἰρκτὴν ἐσπίπτει τὸ πρῶτον ὑπὸ [1]) τῶν ἐφόρων (ἔξεστι δὲ τοῖς ἐφόροις τὸν βασιλέα [2]) δρᾶσαι τοῦτο), ἔπειτα διαπραξάμενος ὕστερον ἐξῆλθε, καὶ καθίστησιν ἑαυτὸν ἐς κρίσιν τοῖς βουλομένοις περὶ αὐτὸν ἐλέγχειν. — 10 (Cap. 132). Καὶ φανερὸν μὲν εἶχον οὐδὲν οἱ Σπαρτιᾶται σημεῖον οὔτε ἡ πᾶσα πόλις, ὅτῳ ἂν πιστεύσαντες βεβαίως ἐτιμωροῦντο ἄνδρα γένους τε τοῦ βασιλείου ὄντα καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα (Πλείσταρχον γὰρ τὸν Λεωνίδου ὄντα βασιλέα καὶ νέον ἔτι ἀνεψιὸς ὢν ἐπετρόπευεν)· ὑποψίας δὲ πολλὰς παρεῖχε τῇ τε παρανομίᾳ καὶ ζηλώσει τῶν βαρβάρων μὴ ἴσος βούλεσθαι [3]) εἶναι τοῖς παροῦσι, τά τε ἄλλα αὐτοῦ ἀνεσκόπουν, εἴ τί που ἐξεδεδιήτητο [4]) τῶν καθεστώτων νομίμων, καὶ ὅτι ἐπὶ τὸν τρίποδά ποτε τὸν ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον, ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ τὸ ἐλεγεῖον τόδε,

Ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων,
Παυσανίας Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

11. Τὸ μὲν οὖν ἐλεγεῖον οἱ Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς τότε ἀπὸ τοῦ τρίποδος τοῦτο καὶ ἐπέγραψαν ὀνομαστὶ τὰς πόλεις ὅσαι ξυγκαθελοῦσαι τὸν βάρβαρον ἔστησαν τὸ ἀνάθημα· τοῦ μέντοι Παυσανίου ἀδίκημα

---

1) ἐσπίπτω wird wegen der in demselben liegenden passiven Bedeutung (= ῥίπτομαι) auch passivisch construirt, ebenso φεύγω (= διώκομαι), ἀποθνήσκω (= ἀποκτείνομαι) und πάσχω (als Passiv zu ποιῶ). — 2) Der doppelte Accus. bei allen Verbis des Nützens, Schadens, Böses- oder Gutesthuns. — König war freilich Paus. nicht, aber er vertrat die Stelle eines solchen als Vormund seines Neffen; vergl. Nr. 10. — 3) Dieser Inf. hängt ab von ὑποψίας „daß er nicht zufrieden sein wolle u. s. w. — 4) ἐκδιαιτῶμαι.

καὶ τοῦτ' ἐδόκει εἶναι, καὶ ἐπειδὴ ἐν τούτῳ καθειστήκει, πολλῷ μᾶλλον παρόμοιον πραχθῆναι ἐφαίνετο τῇ παρούσῃ διανοίᾳ. Ἐπυνθάνοντο δὲ καὶ ἐς τοὺς Εἵλωτας πράσσειν τι αὐτόν, καὶ ἦν δὲ οὕτως· ἐλευθέρωσίν τε γὰρ ὑπισχνεῖτο αὐτοῖς καὶ πολιτείαν, ἢν ξυνεπαναστῶσι καὶ τὸ πᾶν ξυγκατεργάσωνται. — 12. Ἀλλ' οὐδ' ὡς οὐδὲ τῶν Εἱλώτων μηνυταῖς τισι πιστεύσαντες ἠξίωσαν νεώτερόν τι ποιεῖν ἐς αὐτόν, χρώμενοι τῷ τρόπῳ ᾧπερ εἰώθασιν ἐς σφᾶς αὐτούς, μὴ ταχεῖς εἶναι περὶ ἀνδρὸς Σπαρτιάτου ἄνευ ἀμφισβητήτων τεκμηρίων βουλεῦσαί τι ἀνήκεστον, πρίν γε δὴ αὐτοῖς, ὡς λέγεται, ὁ μέλλων τὰς τελευταίας βασιλεῖ ἐπιστολὰς πρὸς Ἀρτάβαζον κομιεῖν ἀνὴρ Ἀργίλιος, παιδικά ποτε ὢν αὐτοῦ καὶ πιστότατος ἐκείνῳ, μηνυτὴς γίγνεται, δείσας κατά ἐνθύμησίν τινα, ὅτι οὐδείς πω τῶν πρὸ ἑαυτοῦ ἀγγέλων πάλιν ἀφίκετο· καὶ παραποιησάμενος τὴν σφραγῖδα, ἵνα, ἢν ψευσθῇ τῆς δόξης, ἢ καὶ ἐκεῖνός[1]) τι μεταγράψαι αἰτήσῃ, μὴ ἐπιγνῷ, λύει τὰς ἐπιστολάς, ἐν αἷς ὑπονοήσας τι τοιοῦτο προσεπεστάλθαι καὶ αὐτὸν εὗρεν ἐγγεγραμμένον κτείνειν. —

13 (Cap. 133). Τότε δὲ οἱ ἔφοροι, δείξαντος αὐτοῦ τὰ γράμματα, μᾶλλον μὲν ἐπίστευσαν, αὐτήκοοι δὲ βουληθέντες ἔτι γενέσθαι αὐτοῦ Παυσανίου τι λέγοντος, ἀπὸ παρασκευῆς τοῦ ἀνθρώπου ἐπὶ Ταίναρον ἱκέτου οἰχομένου καὶ σκηνησαμένου διπλῆν διαφράγματι καλύβην[2]), ἐς ἣν τῶν ἐφόρων ἐντός τινας ἔκρυψε, καὶ Παυσανίου ὡς αὐτὸν ἐλθόντος καὶ ἐρωτῶντος τὴν πρόφασιν τῆς ἱκετείας, ἤσθοντο πάντα σαφῶς· ἠιᾶτο γὰρ ὁ ἄνθρωπος τά τε περὶ αὐτοῦ γραφέντα καὶ τἄλλ' ἀπέφαινε καθ' ἕκαστον, ὡς οὐδὲν πώποτε αὐτὸν ἐν

1) Wenn sich vielleicht Pausanias den Brief vor der Abreise des Argilios noch einmal wieder geben ließe, um etwas in demselben zu ändern. — 2) Ein Zelt, das durch eine Doppelwand (Zwischenwand) einen im Hauptzimmer nicht bemerkbaren Versteck enthielt.

ταῖς πρὸς βασιλέα διακονίαις παραβάλοιτο, προτιμηθείη δ' ἐν ἴσῳ τοῖς πολλοῖς τῶν διακόνων ἀποθανεῖν, κἀκεῖνος αὐτὰ ταῦτα ξυνωμολόγει καὶ περὶ τοῦ παρόντος οὐκ εἴα ὀργίζεσθαι, ἀλλὰ πίστιν ἐκ τοῦ ἱεροῦ ἐδίδου τῆς ἀναστάσεως καὶ ἠξίου ὡς τάχιστα πορεύεσθαι καὶ μὴ τὰ πρασσόμενα διακωλύειν. — 14. (Cap. 134). Ἀκούσαντες δὲ ἀκριβῶς τότε μὲν ἀπῆλθον οἱ ἔφοροι, βεβαίως δὲ ἤδη εἰδότες ἐν τῇ πόλει τὴν ξύλληψιν ἐποιοῦντο. Λέγεται δ' αὐτὸν[1]) μέλλοντα ξυλληφθήσεσθαι ἐν τῇ ὑδῷ, ἑνὸς μὲν τῶν ἐφόρων τὸ πρόσωπον προσιόντος ὡς εἶδε[2]), γνῶναι ἐφ' ᾧ[3]) ἐχώρει, ἄλλου δὲ νεύματι ἀφανεῖ χρησαμένου καὶ δηλώσαντος εὐνοίᾳ, πρὸς τὸ ἱερὸν τῆς Χαλκιοίκου χωρῆσαι δρόμῳ καὶ προκαταφυγεῖν· ἦν δὲ ἐγγὺς τὸ τέμενος. — 15. Καὶ ἐς οἴκημα[4]) οὐ μέγα, ὃ ἦν τοῦ ἱεροῦ, ἐσελθών, ἵνα μὴ ὑπαίθριος ταλαιπωρίᾳ, ἡσύχαζεν. Οἱ δὲ τὸ παραυτίκα μὲν ὑστέρησαν τῇ διώξει, μετὰ δὲ τοῦτο τοῦ τε οἰκήματος τὸν ὄροφον ἀφεῖλον καὶ τὰς θύρας, ἔνδον ὄντα τηρήσαντες αὐτὸν καὶ ἀπολαβόντες εἴσω, ἀπῳκοδόμησαν, προσκαθεζόμενοί τε ἐξεπολιόρκησαν λιμῷ. — 16. Καὶ μέλλοντος αὐτοῦ ἀποψύχειν ὥςπερ εἶχεν ἐν τῷ οἰκήματι, αἰσθόμενοί τε ἐξάγουσιν ἐκ τοῦ ἱεροῦ ἔτι ἔμπνουν ὄντα, καὶ ἐξαχθεὶς ἀπέθανε παραχρῆμα. Καὶ αὐτὸν ἐμέλλησαν μὲν ἐς τὸν Καιάδαν, οὗπερ τοὺς κακούργους, ἐμβάλλειν· ἔπειτα ἔδοξε πλησίον που κατορύξαι. — 17. Ὁ δὲ θεὸς ὁ ἐν Δελφοῖς τόν τε τάφον ὕστερον ἔχρησε τοῖς Λακεδαιμονίοις μετενεγκεῖν οὗπερ ἀπέθανε, (καὶ νῦν κεῖται ἐν τῷ προτεμενίσματι, ὃ γραφῇ στῆλαι δηλοῦσι) καὶ ὡς ἄγος αὐτοῖς ὂν τὸ πεπραγμένον δύο σώματα ἀνθ' ἑνὸς τῇ Χαλκιοίκῳ ἀπο-

---

1) Vergl. pag. 161. Anm. 1. — 2) ὡς εἶδε (Παυσανίας) τὸ πρόσωπον ἑνὸς etc. — 3) „weßhalb." — 4) Der eigentliche Tempel der Göttinn iſt nicht zu verſtehen.

δοῦναι. Οἱ δὲ ποιησάμενοι χαλκοῦς ἀνδριάντας δίο ὡς ἀντὶ Παυσανίου ἀνέθεσαν. —

VI. Letzte Schicksale des Themistokles.

1. (Cap. 135.) Τοῦ Μηδισμοῦ[1]) τοῦ Παυσανίου οἱ Λακεδαιμόνιοι, πρέσβεις πέμψαντες παρὰ τοὺς Ἀθηναίους, ξυνεπῃτιῶντο καὶ τὸν Θεμιστοκλέα, ὡς εὕρισκον ἐκ τῶν περὶ Παυσανίαν ἐλέγχων· ἠξίουν τε τοῖς αὐτοῖς[2]) κολάζεσθαι αὐτόν· οἱ δὲ πεισθέντες (ἔτυχε γὰρ[3]) ὠστρακισμένος καὶ ἔχων δίαιταν μὲν ἐν Ἄργει, ἐπιφοιτῶν δὲ καὶ ἐς τὴν ἄλλην Πελοπόννησον) πέμπουσι μετὰ τῶν Λακεδαιμονίων, ἑτοίμων ὄντων, ἄνδρας, οἷς εἴρητο ἄγειν, ὅπου ἂν περιτύχωσιν. — 2 (Cap. 136). Ὁ δὲ Θεμιστοκλῆς προαισθόμενος φεύγει ἐκ Πελοποννήσου ἐς Κέρκυραν, ὧν αὐτῶν εὐεργέτης[4]). Δεδιέναι δὲ φασκόντων τῶν Κερκυραίων ἔχειν[5]) αὐτόν, ὥστε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἀπεχθέσθαι, διακομίζεται ὑπ' αὐτῶν ἐς τὴν ἤπειρον τὴν καταντικρύ. — 3. Καὶ διωκόμενος ὑπὸ τῶν προστεταγμένων κατὰ πύσιν[6]) ἦ χωροίη, ἀναγκάζεται παρὰ Ἄδμητον τὸν Μολοσσῶν βασιλέα, ὄντα αὐτῷ οὐ φίλον, καταλῦσαι. Καὶ ὁ μὲν οὐκ ἔτυχεν ἐπιδημῶν· ὁ δέ, τῆς γυναικὸς ἱκέτης γενόμενος, διδάσκεται ὑπ' αὐτῆς τὸν παῖδα σφῶν λαβὼν καθέζεσθαι ἐπὶ τὴν ἑστίαν. — 4. Καὶ ἐλθόντος οὐ πολὺ ὕστερον τοῦ Ἀδμήτου, δηλοῖ τε ὅς ἐστι, καὶ οὐκ[7])

---

1) Der Genit. des Verbrechens, regiert von ξυνεπῃτιῶντο. — 2) mit derselben Strafe (wie den Pausanias). — 3) Hierdurch wird das erst folgende πέμπουσι begründet. — 4) Them. hatte die Korzyräer sowohl vor Strafe geschützt, daß sie nicht gegen die Perser gekämpft hatten, als auch in ihren Streitigkeiten mit der Mutterstadt Korinth unterstützt. Uebrigens ist von der Insel durch αὐτῶν der Uebergang auf die Einwohner gemacht. — 5) Vergl. p. 184. Anm. 9. — 6) auszukundschaften. — 7) Die Negat. ist in der Uebers. zu πυρεῖσθαι zu ziehen.

ἄξιοῖ, εἴ τι ἄρα αὐτὸς ἀντεῖπεν [1]) αὐτῷ Ἀθηναίων δεομένῳ, φεύγοντα τιμωρεῖσθαι. Ἅμα δ' αὐτῷ εἶπεν, ὑφ' ὧν καὶ ἐφ' ᾧ διώκεται. Ὁ δὲ ἀκούσας ἀνίστησί τε αὐτὸν μετὰ τοῦ ἑαυτοῦ υἱέος, ὥσπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο· καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο [2]). — 5 (Cap. 137). Καὶ ὕστερον οὐ πολλῷ τοῖς τε Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἐλθοῦσι καὶ πολλὰ εἰποῦσιν οὐκ ἐκδίδωσιν, ἀλλ' ἀποστέλλει, βουλόμενον ὡς βασιλέα πορευθῆναι, ἐπὶ τὴν ἑτέραν θάλασσαν πεζῇ, ἐς Πύδναν τὴν Ἀλεξάνδρου [3]). — 6. Ἐν ᾗ ὁλκάδος [4]) τυχὼν ἀναγομένης ἐπ' Ἰωνίας καὶ ἐπιβάς, καταφέρεται χειμῶνι ἐς τὸ Ἀθηναίων στρατόπεδον, ὃ ἐπολιόρκει Νάξον· καὶ (ἦν γὰρ ἀγνὼς τοῖς ἐν τῇ νηῒ) δείσας φράζει τῷ ναυκλήρῳ, ὅστις ἐστί, καὶ δι' ἃ φεύγει· καί, εἰ μὴ σώσει αὐτόν, ἔφη ἐρεῖν, ὅτι χρήμασι πεισθεὶς αὐτὸν ἄγει· τὴν δὲ ἀσφάλειαν [5]) εἶναι, μηδένα ἐκβῆναι ἐκ τῆς νεὼς μέχρι ἂν πλοῦς γένηται· πειθομένῳ [6]) δ' αὐτῷ χάριν ἀπομνήσεσθαι ἀξίαν. Ὁ δὲ ναύκληρος ποιεῖ τε ταῦτα, καὶ ἀποσαλεύσας ἡμέραν καὶ νύκτα ὑπὲρ τοῦ στρατοπέδου, ὕστερον ἀφικνεῖται ἐς Ἔφεσον. — 7. Καὶ ὁ Θεμιστοκλῆς ἐκεῖνόν τε ἐθεράπευσε χρημάτων δόσει (ἦλθε γὰρ αὐτῷ ὕστερον ἔκ τε Ἀθηνῶν παρὰ τῶν φίλων, καὶ ἐξ Ἄργους, ἃ ὑπεξέκειτο), καὶ μετὰ τῶν κάτω [7]) Περσῶν τινος πορευθεὶς ἄνω, ἐσπέμπει γράμματα ἐς βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου, νεωστὶ βασιλεύοντα [8]). — 8. Ἐδήλου δὲ ἡ γραφή, ὅτι [9]) „Θε-

---

1) Aor. zu ἀνταγορεύω. — 2) τοῦτο ist Subj., μέγιστον ἱκέτευμα Prädicat. — 3) Ergänze πόλιν, eine Stadt in Macedonien; Alexander ist der Sohn des Amyntas I. — 4) Der Gen. abhängig von τυχών. — 5) Das Sicherste aber wäre... — 6) — wenn er ihm aber folge (nach seinem Willen handle). — 7) = an der Küste. — 8) = der erst vor Kurzem König geworden war. — 9) Dies ὅτι dient nur zur Einleitung der directen Rede und wird nicht übersetzt.

μιστοκλῆς ἥκω παρὰ σέ, ὃς κακὰ μὲν πλεῖστα Ἑλλήνων εἴργασμαι τὸν ὑμέτερον οἶκον, ὅσον χρόνον τὸν σὸν πατέρα ἐπιόντα ἐμοὶ ἀνάγκη ἠμυνόμην· πολὺ δ' ἔτι πλείω ἀγαθά, ἐπειδὴ ἐν τῷ ἀσφαλεῖ μὲν ἐμοί, ἐκείνῳ δὲ ἐν ἐπικινδύνῳ πάλιν ἡ ἀποκομιδὴ ἐγίγνετο. Καὶ μοὶ εὐεργεσία ὀφείλεται" (γράψας τήν τε ἐκ Σαλαμῖνος προάγγελσιν τῆς ἀναχωρήσεως, καὶ τὴν τῶν γεφυρῶν, ἣν ψευδῶς προεποιήσατο, τότε δι' αὐτὸν οὐ διάλυσιν [1]) „καὶ νῦν ἔχων σε μεγάλα ἀγαθὰ δρᾶσαι πάρειμι, διωκόμενος ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν σὴν φιλίαν. Βούλομαι δ' ἐνιαυτὸν ἐπισχών, αὐτός σοι περὶ ὧν ἥκω δηλῶσαι. —

9 (Cap. 138). Βασιλεὺς δέ, ὡς λέγεται, ἐθαύμασέ τε αὐτοῦ τὴν διάνοιαν καὶ ἐκέλευσε ποιεῖν οὕτως. Ὁ δ' ἐν τῷ χρόνῳ, ὃν ἐπέσχε, τῆς τε Περσίδος γλώσσης ὅσα ἠδύνατο κατένοησε καὶ τῶν ἐπιτηδευμάτων τῆς χώρας. — 10. Ἀφικόμενος δὲ μετὰ τὸν ἐνιαυτόν, γίγνεται παρ' αὐτῷ μέγας καὶ ὅσος οὐδείς πω Ἑλλήνων, διά τε τὴν προϋπάρχουσαν ἀξίωσιν καὶ τοῦ Ἑλληνικοῦ ἐλπίδα, ἣν ὑπετίθει αὐτῷ δουλώσειν [2]· μάλιστα δὲ ἀπὸ τοῦ πεῖραν δίδους [3]) ξυνετὸς φαίνεσθαι. — 11. Ἦν γὰρ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας [4]), καὶ διαφερόντως τι ἐς αὐτὸ [5]) μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι [6]). Οἰκείᾳ γὰρ ξυνέσει, καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδέν, οὔτ' ἐπιμαθών, τῶν τε παραχρῆμα δι' [7]) ἐλαχίστης βουλῆς κράτιστος γνώ-

---

1) Die Negation οὐ bildet mit διάλυσις einen Begriff: „die Erhaltung" (das Verhindern des Abbrechens). — 2) Subj. ist Themistokles, Object τὸ Ἑλληνικόν. — 3) wie er den Beweis gegeben hatte. — 4) Das Particip. mit ἦν noch stärker, als ἐδήλωσε oder ἐδεδηλώκει. — 5) Darin d. i. in den von der Kraft seines Geistes gegebenen Beweisen. — 6) So gebraucht der Grieche das Activum, wo wir das Passivum erwarten würden. — 7) nach, vermöge.

μων, καὶ τῶν μελλόντων ἐπὶ πλεῖστον [1]) τοῦ γενησομένου [2]) ἄριστος εἰκαστής· καὶ ἃ μὲν μετὰ χεῖρας ἔχοι, καὶ ἐξηγήσασθαι οἷός τε [3])· ὧν τε ἄπειρος εἴη, κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο· τό τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι ὂν προεώρα μάλιστα, καὶ τὸ ξύμπαν εἰπεῖν [4]), φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι, κράτιστος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. — 13. Νοσήσας δὲ τελευτᾷ τὸν βίον. Λέγουσι δέ τινες καὶ ἑκούσιον φαρμάκῳ ἀποθανεῖν αὐτόν, ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ ἃ ὑπέσχετο. Μνημεῖον μὲν οὖν αὐτοῦ ἐν Μαγνησίᾳ ἐστὶ τῇ Ἀσιανῇ [5]) ἐν τῇ ἀγορᾷ· ταύτης γὰρ ἦρχε τῆς χώρας, δόντος βασιλέως αὐτῷ, Μαγνησίαν μὲν ἄρτον, ἣ προσέφερε πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ· Λάμψακον δὲ οἶνον (ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι)· Μυοῦντα δὲ ὄψον. — 14. Τὰ δὲ ὀστᾶ φασι κομισθῆναι αὐτοῦ οἱ προσήκοντες οἴκαδε κελεύσαντος ἐκείνου καὶ τεθῆναι κρύφα Ἀθηναίων ἐν τῇ Ἀττικῇ. Οὐ γὰρ ἐξῆν θάπτειν, ὡς ἐπὶ προδοσίᾳ φεύγοντος. Τὰ μὲν κατὰ Παυσανίαν τὸν Λακεδαιμόνιον καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, λαμπροτάτους γενομένους τῶν καθ' ἑαυτοὺς Ἑλλήνων, οὕτως ἐτελεύτησεν. —

VII. Eroberung und Zerstörung Thebens durch Alexander den Großen.

1. Ἐν τούτῳ [6]) τῶν φυγάδων τινὲς τῶν ἐκ Θηβῶν φευγόντων παρελθόντες νύκτωρ ἐς τὰς Θήβας,

---

1) meistentheils. — 2) τὸ γενησόμενον ist dasjenige von den zukünftigen Dingen (τὰ μέλλοντα), was wirklich eintritt. — 3) Ergänze ἦν. — 4) um das Ganze zusammen zu fassen. 5) Im Gegensatz des thessalischen Magnesia. — 6) Während A. mit der Unterwerfung mehrerer barbarischer Völkerschaften, die an Macedonien angränzten, beschäftigt war.

ἐπαγομένων τινῶν [1]) αὐτοὺς ἐπὶ νεωτερισμῷ ἐκ τῆς πόλεως, Ἀμύνταν μὲν καὶ Τιμόλαον τῶν τὴν Καδμείαν ἐχόντων οὐδὲν πολέμιον ὑποπτήσαντας ἔξω τῆς Καδμείας ἀπέκτειναν ξυλλαβόντες· ἐς δὲ τὴν ἐκκλησίαν παρελθόντες ἐπῆραν τοὺς Θηβαίους ἀποστῆναι ἀπὸ Ἀλεξάνδρου, ἐλευθερίαν τε προϊσχόμενοι, καὶ τῆς βαρύτητος τῶν Μακεδόνων ἤδη ποτὲ ἀπαλλαγῆναι [2]). — 2. Πιθανώτεροι δὲ ἐς τὸ πλῆθος ἐφαίνοντο, τεθνηκέναι Ἀλέξανδρον ἰσχυριζόμενοι ἐν Ἰλλυριοῖς· καὶ γὰρ καὶ πολὺς ὁ λόγος οὗτος καὶ παρὰ πολλῶν ἐφοίτα, ὅτι τε χρόνον ἀπῆν οὐκ ὀλίγον, καὶ ὅτι οὐδεμία ἀγγελία παρ' αὐτοῦ ἀφῖκτο· ὥστε (ὅπερ φιλεῖ ἐν τοῖς τοιοῖσδε), οὐ γινώσκοντες τὰ ὄντα, τὰ μάλιστα καθ' ἡδονήν σφισιν [3]) εἴκαζον. — 3. Πυθομένῳ δὲ Ἀλεξάνδρῳ τὰ τῶν Θηβαίων οὐδαμῶς ἐδόκει ἀμελητέα εἶναι, τήν τε τῶν Ἀθηναίων πόλιν δι' ὑποψίας ἐκ πολλοῦ [4]) ἔχοντι, καὶ τῶν Θηβαίων τὸ τόλμημα οὐ φαῦλον ποιουμένῳ, εἰ Λακεδαιμόνιοί τε πάλαι ἤδη ταῖς γνώμαις [5]) ἀφεστηκότες, καί τινες καὶ ἄλλοι τῶν ἐν Πελοποννήσῳ, καὶ Αἰτωλοὶ οὐ βέβαιοι ὄντες συνεπιλήψονται τοῦ νεωτερισμοῦ τοῖς Θηβαίοις [6]). — 4. Ἄγων δὴ παρὰ τὴν Ἐορδαίαν [7]) τε καὶ τὴν Ἐλυμιῶτιν [7]) καὶ παρὰ τὰ τῆς Στυμφαίας καὶ Παρυαίας ἄκρα, ἑβδομαῖος ἀφικνεῖται ἐς Πελλίναν τῆς Θετταλίας. Ἔνθεν δὲ ὁρμηθεὶς ἕκτῃ ἡμέρᾳ ἐσβάλλει ἐς Βοιωτίαν, ὥστε οὐ πρόσθεν οἱ Θηβαῖοι ἔμαθον εἴσω Πυλῶν [8]) παρεληλυθότα αὐτόν, πρὶν ἐν Ὀγχηστῷ γενέσθαι ξὺν τῇ στρατιᾷ πάσῃ. — 5. Καὶ τότε δὲ οἱ πράξαντες τὴν ἀπόστασιν στράτευμα

---

1) τινων ist mit ἐκ τ. π. zu verbinden = πολιτῶν. — 2) dieser Satz, von καὶ an, ist abhängig von προϊσχόμενοι (als Object). — 3) das, was ihnen am meisten nach Wunsch war. — 4) seit langer Zeit. — 5) in ihrer Gesinnung, ihrer Gnach. — 6) abhängig von der im Verb. enthaltenen Präpos. σύν. — 7) Landschaften in Macedonien. — 8) die Thermopylen. —

ἐκ Μακεδονίας Ἀντιπάτρου ἀφῖχθαι ἔφασκον, αὐτὸν δὲ Ἀλέξανδρον τεθνάναι ἰσχυρίζοντο, καὶ τοῖς ἀπαγγέλλουσιν, ὅτι οὗτος αὐτὸς προσάγει Ἀλέξανδρος, χαλεπῶς εἶχον· ἄλλον γάρ τινα ἥκειν [1]) Ἀλέξανδρον τὸν Ἀερόπου. — 6. Ὁ δὲ Ἀλέξανδρος ἐξ Ὀγχηστοῦ ἄρας τῇ ὑστεραίᾳ προσῆγε πρὸς τὴν πόλιν τῶν Θηβαίων κατὰ τὸ τοῦ Ἰολάου τέμενος. Οὗ δὴ καὶ ἐστρατοπέδευσεν, ἐνδιδοὺς ἔτι τοῖς Θηβαιοῖς τριβήν, εἰ μεταγνόντες ἐπὶ τοῖς κακῶς ἐγνωσμένοις πρεσβεύσαιντο παρ' αὐτόν. — 7. Οἱ δὲ τοσούτου ἐδέησαν [2]) ἐνδόσιμόν τι παρασχεῖν ἐς ξύμβασιν, ὥστε ἐκθέοντες ἐκ τῆς πόλεως οἵ τε ἱππεῖς καὶ τῶν ψιλῶν οὐκ ὀλίγοι ἔστε ἐπὶ τὸ στρατόπεδον ἠκροβολίζοντο ἐς τὰς προφυλακάς, καί τινας καὶ ἀπέκτειναν οὐ πολλοὺς τῶν Μακεδόνων. Καὶ Ἀλέξανδρος ἐκπέμπει τῶν ψιλῶν καὶ τοξοτῶν [3]) ὥστε αὐτῶν ἀναστεῖλαι τὴν ἐκδρομήν· καὶ οὗτοι οὐ χαλεπῶς ἀνέστειλαν ἤδη τῷ στρατοπέδῳ αὐτῷ προσφερομένους. — 8. Τῇ δὲ ὑστεραίᾳ ἀναλαβὼν τὴν στρατιὰν πᾶσαν καὶ περιελθὼν κατὰ τὰς πύλας τὰς φερούσας ἐπ' Ἐλευθεράς τε καὶ τὴν Ἀττικήν, οὐδὲ τότε προσέμιξε τοῖς τείχεσιν αὐτοῖς, ἀλλ' ἐστρατοπέδευσεν οὐ πολὺ ἀπέχων τῆς Καδμείας, ὥστε ἐγγὺς εἶναι ὠφέλειαν τῶν Μακεδόνων τοῖς τὴν Καδμείαν ἔχουσιν. — 9. Οἱ γὰρ Θηβαῖοι τὴν Καδμείαν διπλῷ χάρακι ἐφρούρουν ἀποτειχίσαντες, ὡς μήτε ἔξωθέν τινα τοῖς ἐγκατειλημμένοις δύνασθαι ἐπωφελεῖν, μήτε αὐτοὺς ἐκθέοντας βλάπτειν τι σφᾶς, ὁπότε τοῖς ἔξω πολεμίοις προσφέροιντο [4]). Ἀλέξανδρος δὲ (ἔτι γὰρ τοῖς Θηβαίοις διὰ φιλίας ἐλθεῖν μᾶλλόν τι ἢ διὰ κινδύνου ἤθελε) διέτριβε πρὸς τῇ Καδμείᾳ κατεστρατοπεδευκώς.

---

1) Der Inf. hängt ab von einem aus dem Vorhergehenden zu ergänzenden Verb. des Sagens. — 2) Jene waren so weit entfernt . . . — 3) Ergänze πάς. — 4) S. p. 173. Anm. 3.

— 10. Ἔνθα δὴ τῶν Θηβαίων οἱ μὲν τὰ βέλτιστα ἐς τὸ κοινὸν γιγνώσκοντες ἐξελθεῖν ὥρμηντο παρ' Ἀλέξανδρον καὶ εὑρέσθαι συγγνώμην τῷ πλήθει τῶν Θηβαίων τῆς ἀποστάσεως· οἱ φυγάδες καὶ ὅσοι τοὺς φυγάδας ἐπικεκλημένοι ἦσαν, οὐδενὸς φιλανθρώπου τυχεῖν ἂν παρ' Ἀλεξάνδρου ἀξιοῦντες [1]), ἄλλως τε καὶ βοιωταρχοῦντές ἐστιν οἳ [2]) αὐτῶν παντάπασιν ἐνῆγον τὸ πλῆθος ἐς τὸν πόλεμον· Ἀλέξανδρος δὲ οὐδ' ὡς τῇ πόλει προσέβαλεν. — 11. Ἀλλὰ Περδίκκας προτεταγμένος τῆς φυλακῆς τοῦ στρατοπέδου σὺν τῇ αὐτοῦ τάξει, καὶ τοῦ χάρακος [3]) τῶν πολεμίων οὐ πολὺ ἀφεστηκώς, οἳ προσμείνας παρ' Ἀλεξάνδρου τὸ ἐς τὴν μάχην ξύνθημα αὐτὸς πρῶτος προσέμιξε τῷ χάρακι· καὶ διασπάσας αὐτὸν ἐνέβαλεν ἐς τῶν Θηβαίων τὴν προφυλακήν. — 12. Τούτῳ δὲ ἑπόμενος Ἀμύνιας ὁ Ἀνδρομένους, ὅτι καὶ ξυντεταγμένος τῷ Περδίκκᾳ ἦν, ἐπήγαγε καὶ αὐτὸς τὴν αὑτοῦ τάξιν, ὡς εἶδε τὸν Περδίκκαν προεληλυθότα ἔσω τοῦ χάρακος. Ταῦτα δὲ ἰδὼν Ἀλέξανδρος, ὡς μὴ μόνοι ἀπολειφθέντες πρὸς τῶν Θηβαίων κινδυνεύσειαν, ἐπῆγε τὴν ἄλλην στρατιάν. Καὶ τοὺς μὲν τοξότας καὶ τοὺς Ἀγριᾶνας ἐκδραμεῖν ἐσήμηνεν ἔσω τοῦ χάρακος, τὰ δὲ ἀγήματα καὶ τοὺς ὑπασπιστὰς ἔτι ἔξω κατεῖχεν. — 13. Ἔνθα δὴ Περδίκκας μὲν τοῦ δευτέρου χάρακος ἔσω παρελθεῖν βιαζόμενος, αὐτὸς μὲν βληθεὶς πίπτει αὐτοῦ καὶ ἀποκομίζεται κακῶς ἔχων ἐπὶ τὸ στρατόπεδον· καὶ χαλεπῶς ἐσώθη ἀπὸ τοῦ τραύματος. Τοὺς μέντοι Θηβαίους ἐς τὴν κοίλην ὁδὸν τὴν κατὰ τὸ Ἡράκλειον φέρουσαν οἱ ἅμα αὐτῷ εἰσπεσόντες ὁμοῦ τοῖς παρ' Ἀλεξάνδρῳ τοξόταις συνέκλεισαν. — 14. Καὶ ἔστε μὲν ἐπὶ τὸ Ἡράκλειον ἀναχωροῦσιν [4]) εἵποντο τοῖς

---

1) indem ſie meinten, ſie würden wohl (ἄν — nach dem Vorgefallenen). — 2) einige. — 3) Der Gen. iſt abhängig von ἀφεστηκώς. — 4) iſt Dativ und mit τοῖς Θ. zu verbinden.

Θηβαίοις· ἐντεῦθεν δὲ ἐπιστρεψάντων αὖθις σὺν βοῇ τῶν Θηβαίων φυγὴ τῶν Μακεδόνων γίγνεται· καὶ Εὐρυβώτας τε Κρὴς πίπτει ὁ τοξάρχης, καὶ αὐτῶν τῶν τοξοτῶν ἐς ἑβδομήκοντα· οἱ δὲ λοιποὶ κατέφυγον πρὸς τὸ ἄγημα τὸ τῶν Μακεδόνων καὶ τοὺς ὑπασπιστὰς τοὺς βασιλικούς. — 15. Κἀν τούτῳ Ἀλέξανδρος τοὺς μὲν αὐτοῦ φεύγοντας[1]) κατιδών, τοὺς Θηβαίους δὲ λελυκότας[1]) ἐν τῇ διώξει τὴν τάξιν, ἐμβάλλει ἐς αὐτοὺς συντεταγμένῃ τῇ φάλαγγι. Οἱ δὲ ὠθοῦσι τοὺς Θηβαίους εἴσω τῶν πυλῶν· καὶ τοῖς Θηβαίοις ἐς τοσόνδε ἡ φυγὴ φοβερὰ ἐγίγνετο, ὥστε διὰ τῶν πυλῶν ὠθούμενοι ἐς τὴν πόλιν οὐκ ἔφθησαν[2]) συγκλείσαντες τὰς πύλας· ἀλλὰ συνεισπίπτουσι γὰρ αὐτοῖς εἴσω τοῦ τείχους, ὅσοι τῶν Μακεδόνων[3]) ἐγγὺς φευγόντων εἶχοντο, ἅτε[4]) καὶ τῶν τειχῶν διὰ τὰς προφυλακὰς τὰς πολλὰς ἐρήμων ὄντων. — 16. Καὶ προελθόντες εἰς τὴν Καδμείαν οἱ μὲν ἐκεῖθεν κατὰ τὸ Ἀμφεῖον σὺν τοῖς κατέχουσι τὴν Καδμείαν ἐξέβαινον ἐς τὴν ἄλλην πόλιν, οἱ δὲ κατὰ τὰ τείχη ἐχόμενα ἤδη πρὸς τῶν συνεισπεσόντων τοῖς φεύγουσιν[5]) ὑπερβάντες ἐς τὴν ἀγορὰν δρόμῳ ἐφέροντο. — 17. Καὶ ὀλίγον μέν τινα χρόνον ἔμειναν οἱ τεταγμένοι τῶν Θηβαίων κατὰ τὸ Ἀμφεῖον· ὡς δὲ πανταχόθεν αὐτοῖς οἱ Μακεδόνες καὶ Ἀλέξανδρος ἄλλοτε ἄλλῃ[6]) ἐπιφαινόμενος προσέκειντο, οἱ μὲν ἱππεῖς τῶν Θηβαίων διεκπεσόντες διὰ τῆς πόλεως ἐς τὸ πεδίον ἐξέπιπτον, οἱ δὲ πεζοί, ὡς ἑκάστοις χρονὸς ἐχώρει, ἐσώζοντο. — 18. Ἔνθα δὴ ὀργῇ οὐχ οὕτω τι οἱ Μακεδόνες, ἀλλὰ Φωκεῖς τε καὶ Πλαταιεῖς καὶ οἱ ἄλλοι δὲ Βοιωτοὶ οὐδὲ ἀμυνομένους ἔτι τοὺς Θηβαίους οὐδενὶ

1) Die Partic. (st. des Inf.) bei κατιδών, einem Verb. der sinnlichen Wahrnehmung. — 2) nicht vor dem Eindringen der Feinde. — 3) hängt von ὅσοι ab, φευγόντων von εἶχοντο. — 4) ἅτε mit dem Part. giebt den Grund an. — 5) Vergl. p. 226. Anm. 6. — 6) bald hier, bald dort.

κόσμῳ [1]) ἔκτεινον, τοὺς μὲν ἐν ταῖς οἰκίαις ἐςπίπτοντες, τοὺς δὲ καὶ ἐς ἀλκὴν τετραμμένους, τοὺς δὲ καὶ πρὸς ἱεροῖς ἱκετεύοντας, οὔτε γυναικῶν οὔτε παίδων φειδόμενοι. —

19. Καὶ τὸ πάθος τοῦτο μεγέθει τε τῆς ἁλούσης πόλεως καὶ ὀξύτητι τοῦ ἔργου, οὐχ ἥκιστα δὲ τῷ παραλόγῳ ἔς [2]) τε τοὺς παθόντας καὶ τοὺς δράσαντας, οὐ μεῖόν τι τοὺς ἄλλους Ἕλληνας ἢ καὶ αὐτοὺς τοὺς μετασχόντας τοῦ ἔργου ἐξέπληξε. — 20. Τὰ μὲν γὰρ περὶ Σικελίαν Ἀθηναίοις ξυνενεχθέντα, εἰ καὶ πλήθει τῶν ἀπολομένων οὐ μείονα τὴν ξυμφορὰν τῇ πόλει ἤνεγκεν, ἀλλὰ τῷ [3]) τε πόρρῳ ἀπὸ τῆς οἰκείας διαφθαρῆναι αὐτοῖς τὸν στρατὸν καὶ τὸν πολὺν [4]) ξυμμαχικὸν μᾶλλον ἢ οἰκεῖον ὄντα, καὶ τῷ [5]) τὴν πόλιν αὐτοῖς περιλειφθῆναι, ὡς καὶ ἐς ὕστερον ἐπὶ πολὺ [5]) τῷ πολέμῳ ἀντισχεῖν Λακεδαιμονίοις τε καὶ τοῖς ξυμμάχοις καὶ μεγάλῳ βασιλεῖ πολεμοῦντας, οὔτε αὐτοῖς τοῖς παθοῦσιν ἴσην τὴν αἴσθησιν τῆς ξυμφορᾶς προσέθηκεν [6]), οὔτε τοῖς ἄλλοις Ἕλλησι τὴν ἐπὶ τῷ πάθει ἔκπληξιν ὁμοίαν παρέσχε. — 21. Καὶ τὸ ἐν Αἰγὸς ποταμοῖς αὖθις Ἀθηναίων πταῖσμα ναυτικόν τε ἦν, καὶ ἡ πόλις, καίπερ τῶν μακρῶν τειχῶν καθαιρέσει καὶ νεῶν τῶν πολλῶν παραδόσει καὶ στερήσει τῆς ἀρχῆς ἐς ταπεινότητα ἀφικομένη, τό τε σχῆμα τὸ πάτριον ὅμως ἐφύλαξε, καὶ τὴν δύναμιν οὐ διὰ μακροῦ [7]) τὴν παλαιὰν ἔλαβεν· ὡς τά τε μακρὰ τείχη ἐκτειχίσαι, καὶ τῆς θαλάσσης αὖθις ἐπικρατῆσαι, καὶ τοὺς τότε φοβεροὺς σφισιν Λακεδαιμονίους καὶ παρ' ὀλίγον ἐλθόντας [8]) ἀφανίσαι τὴν πόλιν αὐτοὺς ἐν τῷ μέρει [9]) ἐκ τῶν

---

1) ohne Maß, ohne Erbarmen. — 2) für. — 3) dadurch, daß. — 4) der größte Theil. — 5) lange. — 6) Prädicat zu τὰ — ξυνενεχθέντα. — 7) nicht nach langer Zeit = in Kurzem, bald. — 8) die fast soweit gegangen wären. — 9) vi-

ἐσχάτων κινδύνων διασώσασθαι. — 22. Λακεδαιμονίων τε αὖ τὸ κατὰ Λεῦκτρα καὶ Μαντίνειαν παῖσμα τῷ παραλόγῳ μᾶλλόν τι[1]) τῆς ξυμφορᾶς ἢ τῷ πλήθει τῶν ἀπολομένων τοὺς Λακεδαιμονίους ἐξέπληξεν· ἥ τε ξὺν Ἐπαμεινώνδᾳ Βοιωτῶν καὶ Ἀρκάδων γενομένη προσβολὴ πρὸς τὴν Σπάρτην καὶ αὐτὴ τῷ ἀήθει τῆς ὄψεως μᾶλλον ἢ τῇ ἀκριβείᾳ τῶν κινδύνων αὐτούς τε τοὺς Λακεδαιμονίους καὶ τοὺς ξυμμετασχόντας αὐτοῖς τῶν τότε πραγμάτων ἐφόβησεν. — 23. Θηβαίοις δὲ τὰ τῆς ἀποστάσεως ὀξέα καὶ ξὺν οὐδενὶ λογισμῷ γενόμενα, καὶ ἡ ἅλωσις δι' ὀλίγου τε καὶ οὐ ξὺν πόνῳ τῶν ἑλόντων ξυνενεχθεῖσα, καὶ ὁ πολὺς φόνος, οἷα[2]) δὴ ἐξ ὁμοφύλων τε καὶ παλαιὰς ἀπεχθείας ἐπεξιόντων, καὶ ὁ τῆς πόλεως παντελὴς ἀνδραποδισμός, δυνάμει τε καὶ δόξῃ ἐς τὰ πολέμια τῶν τότε[3]) προεχούσης ἐν τοῖς Ἕλλησιν, οὐκ ἔξω τοῦ εἰκότος εἰς μῆνιν τοῦ θείου ἀνηνέχθη. — 24. Ἐνομίζοντο γὰρ οἱ Θηβαῖοι τῆς τε ἐν τῷ Μηδικῷ πολέμῳ προδοσίας τῶν Ἑλλήνων διὰ μακροῦ ταύτην[4]) δίκην ἐκτίσαντες, καὶ τῆς Πλαταιέων ἔν τε ταῖς σπονδαῖς καταλήψεως[5]) καὶ τοῦ παντελοῦς ἀνδραποδισμοῦ τῆς πόλεως καὶ τοῦ χωρίου τῆς ἐρημώσεως, ἐν ὅτῳ οἱ Ἕλληνες παραταξάμενοι Μήδους ἀπεώσαντο[6]) τῆς Ἑλλάδος τὸν κίνδυνον· καὶ ὅτι Ἀθηναίους αὐτοὶ τῇ ψήφῳ ἀπώλλυον[7]), ὅτε ὑπὲρ ἀν-

---

cissim, als die Lacedämonier, von den Thebanern unter Epaminondas bedrängt wurden.

1) τι wird mildernd zu Adverb. gesetzt, der Genit. τῆς ξ. hängt von τῷ π. ab. — 2) als (bewirkt) von Stammgenossen, und zwar . . . — 3) scil. πόλεων. — 4) Dies als Strafe — Die Böotier hatten sich dem Xerxes ohne Widerstand unterworfen. — 5) Mit diesem Ueberfall Platäa's begann der peloponnesische Krieg. — 6) 479 v. Chr. durch die Schlacht bei Platäa. — 7) Nach der Eroberung Athens 404 stimmten die Thebaner für die Zerstörung der Stadt, die jedoch die Lacedämonier als unwürdig verwarfen.

δραποδισμοῦ τῆς πόλεως γνώμη προὐτέθη ἐν τοῖς Λακεδαιμονίων ξυμμάχοις. — 25. Τοῖς δὲ μετασχοῦσι τοῦ ἔργου ξυμμάχοις, οἷς δὴ καὶ ἐπέτρεψεν Ἀλέξανδρος τὰ κατὰ τὰς Θήβας διαθεῖναι, τὴν μὲν Καδμείαν φρουρᾷ κατέχειν ἔδοξε, τὴν πόλιν δὲ κατασκάψαι εἰς ἔδαφος, καὶ τὴν χώραν κατανεῖμαι τοῖς ξυμμάχοις, ὅση μὴ ἱερὰ αὐτῆς· παῖδας δὲ καὶ γυναῖκας, καὶ ὅσοι ὑπελείποντο Θηβαίων, πλὴν τῶν ἱερέων τε καὶ ἱερειῶν καὶ ὅσοι ξένοι Φιλίππου ἢ Ἀλεξάνδρου ἢ ὅσοι πρόξενοι Μακεδόνων ἐγένοντο, ἀνδραποδίσαι. — 26. Καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν, ὅτι διεφύλαξεν Ἀλέξανδρος αἰδοῖ τῇ Πινδάρου· ἐπὶ τούτοις Ὀρχόμενόν τε καὶ Πλαταιὰς ἀναστῆσαί τε καὶ τειχίσαι οἱ ξύμμαχοι ἔγνωσαν.

VIII. Leben des Philosophen Demonax.

1. *Περὶ Δημώνακτος τοῦ φιλοσόφου δίκαιον λέγειν ἐμοὶ δοκεῖ ἀμφοῖν ἕνεκα*[1]), *ὡς ἐκεῖνός τε διὰ μνήμης*[2]) *εἴη τοῖς ἀρίστοις τό γε κατ' ἐμέ*[3]), *καὶ οἱ γενναιότατοι τῶν νέων καὶ πρὸς φιλοσοφίαν ὁρῶντες ἔχοιεν μὴ πρὸς τὰ ἀρχαῖα μόνα τῶν παραδειγμάτων σφᾶς αὐτοὺς ῥυθμίζειν, ἀλλὰ κἀκ τοῦ ἡμετέρου βίου κανόνα προτίθεσθαι καὶ ζηλοῦν ἐκεῖνον, ἄριστον ὢν*[4]) *οἶδα ἐγὼ φιλοσόφων γενόμενον.* — 2. *Ἦν δὲ τὸ μὲν γένος Κύπριος, οὐ τῶν ἀφανῶν, ὅσα εἰς ἀξίωμα πολιτικὸν καὶ κτῆσιν· οὐ μὲν ἀλλὰ καὶ πάντων τούτων ὑπεράνω γενόμενος καὶ ἀξιώσας ἑαυτὸν τῶν καλλίστων πρὸς φιλοσοφίαν ὥρμησεν, οὐκ Ἀγαθοβούλου*[5]) *οὐδὲ Δημη-*

